Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Tou hagiou Kyrillou archiepiskopou Alexandreias Lexikon kata stoicheion,

https://hdl.handle.net/1874/377623

Aevum vetus.
Scriptores graeci.
Nº. 14

Kast I
Pl. C Nº 3

18 (*Gr. 14*) *Charta 4°. 504 pp. Saec. XVIII.*

S. **Cyrillus** Alexandrinus, Lexicon alphabeticum.

Fol. 1a Τοῦ ἁγίου Κυρίλλου .... Λεξικὸν κατὰ στοιχεῖον. Α. ἅτινα σημαίνει, etc.

**Hs.**
**1 C 3**

# ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙ ΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

## λεξικὸν κατὰ στοιχεῖον.

Α. ἅτινα σημαίνει τὸ ὁμοῦ καὶ ἅμα.

Αά. σχετλιαστικὸν ἀναφώνημα.

Α. χετλιαστικὸν ἐπίρρημα καὶ σύστημα ὑδάτων.

Ἀάδειν. ὀχλεῖν. ἀπορρεῖν.

Ἀαχραγές. σιὸς κόπρος.

Ἀασάμην. ἐβλάβην.

Ἀασιφόρος. βλάβην φέρων.

Ἀατος. ἀβλαβής. ἀπλήρωτος.

Ἀάθη. ἠπατήθη.

Ἀάσαι. κορέσαι. καθυπνῶσαι.

Ἀάθης. ἥμαρτον.

Ἀάσαι. βλάψαι ἢ λυπῆσαι.

Ἀακτον. ἄθραυστον.

Ἀάσατο. ἠγνώησεν. ἥμαρτεν.

Ἀαγή. ἡ ἔκπληξις.

Ἅμα. ἐπίρρημα συλλήψεως ἢ ἀθροίσεως. διαφέρει δὲ τὸ ἅμα τὸ ὁμοῦ. ὅτι τὸ ἅμα ἐπὶ χρόνου τάσσεται. τὸ δὲ ὁμοῦ ἐπὶ τόπου.

Ἀάλιον. ἄπληκτον.

Ἀάννης. χρήσιμος.

Ἀάβυκτον. μελανεὶς βλαβείς.

Ἀαδὲν. υἱεία κόπρος. τούτεστι χοίραια.

Ἀατε. βλάπτει.
Ἀαγές. ἄθραυστον. ἰσχυρόν.
Ἀάπτους. ἀπροσπελάστους. ὧν οὐ δύναταί τις ἅψασθαι.
Ἀβακῶ. ἀγνοῶ
Ἀβάλε. αἴθε. εἴθε. εὐχῆς σημαντικόν. ἔστι δὲ καὶ σχετλιαστικὸν ἐπίρρημα.
Ἄβατον. ἱερὸν. ἀπρόσιτον ἔρημον.
Ἀβασάνιστον. ἀγύμναστον. ἀνεξέταστον. ἢ ἀπείριεργον.
Ἀβά---κησαν. ἠγνόησαν.
Ἄβυσσος. ὑδάτων πλῆθος ὑπεράντων.
Ἀβλεμμέως. ἐπίρρημα ἀφροντίστως.
Ἄβρομοι. ἄνευ ἤχου καὶ θορύβου.
Ἄβαπτον. ἀστόμωτον.
Ἀβακήμων. ἄλαλος.
Ἀβελτερία. ἄνοια. ἀνοσία. μωρία. ἢ τὸ βέλτιον μὴ γινώσκων.
Ἀβέβηλον. καθαρόν. ἀμώμητον.
Ἀβακῆσαι. ἀγνοῆσαι. ἁμαρτεῖν.
Ἄβιοι. ἄτοξοι. μὴ ἔχοντες τόξα. βιὸν γὰρ τὸ τόξον.
Ἀβιδία. θάλασσα.
Ἀβίωτον. ἀειδῆ. κακόν. οδυνηρόν.
Ἀβληπτήματι. ἁμαρτήματι. ἄνευ βουλῆς πραττομένῳ.
Ἀβής. ἀσύνετος. ἀνόσιος.
Ἀβληχία. καρδίας πώρωσις.
Ἀβληχρής. ἀσθενής.

Αβουλία. ἀπαιδευσία. ἄνοια.
Αβούλητον. κακόν. ὅ οὐ θέλει τίς.
Αβούλως. ἀφρόνως. ἀμαθῶς.
Αβρικτον. ἀνύστακτον. ἤ δύσμορφον.
Αβρότητι. τρυφερότητι. ἁπαλότητι.
Αβρός. λαμπρός. τρυφερός. ἅπαλος.
Αβροδίαιτος. τρυφητής. ὁ τρυφερόβιος.
Αβρόταξις. ἁμαρτία.
Αβύρακηλον. ἀνύσχυντον πού ἐπαχθείς.
Αβροδιαίτη. τρυφερά ζωή.
Αβροτον. θεῖον.
Αβρῶς. ἀνθηρῶς.
Αβένθη. πολυβάθη. ἤ βάθη μή ἔχοντα.
Αβροχίτονος. τρυφερά φορῶντος.
Αβρύνεται. κοσμεῖται. θρύπτεται.
Αβρότερον. τρυφερότερον.
Αβραβαίνων. θρυπτόμενος. βλακευόμενος.
Αβροτήμων. ἁμαρτωλός.
Αβροκομᾶ. ὁ τήν κόμην φαιδράν ἔχων.
Αβραι. νέαι δοῦλαι θεραπένηδες νεώτεραι.
Αβραμιάιος. γιγαντιαῖος ἱεροπρεπής.
Αβρίζεσθαι. καλλοπίζεσθαι.
Αβδελλον. ταπεινόν.
Αβλωθρίδια. ἀτέλεστα. ἐκτρώματα μή ἔχοντα ζωήν.
Αγη. ἡ κλάσις τοῦ ξίφους.

Ἀγαθός. ἄρσενι ἐπίθετόν ἐστιν ἁπλοῦν καὶ σύνθετον. ἀπὸ ἄγαν θεῖον. ἢ ἀπὸ ἀγαπᾶν τὸν θεόν.

Ἀγάπη. ἀπὸ ἄγαν τὸ πᾶν ἤτοι ἑνοῦν καὶ συνάπτειν πρὸς ὁμόνοιαν.

Ἀγαὶ. αἰγιαλοὶ κατὰ τοὺς ἴωνας.

Ἀγαλλόμενος. χαίρων. ἀφραινόμενος.

Ἀγανώπιδος. πραείας εὐοφθάλμου καλῶς βλεπούσης

Ἀγάλματα. ξόανα. ἀφομοιώματα εἰκόνες ἢ ἀνδριάντες.

Ἄγαμαι. θαυμάζω.

Ἀγάμενοι. θαυμάζοντες. ἐκπληττόμενοι.

Ἀγακλυτός. ἄγαν δόξος.

Ἄγαν. τὸ ἄγαν καὶ τὸ λίαν σημαίνει το πάνυ.

Ἀγάσειτον. θαυμάσειεν.

Ἀγάστονος. πολυστέναχτος.

Ἄγαμαι. ἀποδέχομαι. θαυμάζω. ἐπαινῶ.

Ἀγαλλίαμα. δόξα. καύχημα.

Ἀγανοί. λαμπροί. ἔνδοξοι.

Ἀγάλμιτον. ἀσθενές.

Ἄγανα. ἅμαξα ἱερά. καὶ ἐν οὐρανῷ ἄρκτος.

Ἀγαυρίαμα. ἔπαρμα. ὕψωμα.

Ἀγέλη. τὸ πλῆθος τῶν ζώων προβάτων ἢ βοῶν. τὰ ἄζευκτα ζῶα. ἢ τὰ ὁμοῦ συνηθροισμένα καὶ ἀγόμενα καὶ νεμόμενα. Κυρίως δὲ ἐπὶ τῶν βοῶν. καταχρηστικῶς δὲ ἐπὶ τῶν προβάτων καὶ ἀνθρώπων.

Ἀγακλεεῖς. ἄγαν ἔνδοξοι.

Ἀγανόφρων. ἀγαθὸς πραότατος.

Αγάσυρτος. ἀκάθαρτος.

Αγγαρος. ἐργάτης. ὑπηρέτης. ἀχθοφόρος. ὅθεν ἀγγαρίαν την ἀναγκάιαν καὶ ἀκούσιον λέγομεν καὶ ἐκ βίας γενομένην ὑπηρεσίαν.

Αγγελος. ὁ σημαίνων. ὁ ἀποκρισιάριος. ἢ ὁ τὰς ἀγγελίας ἤγουν. τὰς ἀκοὰς καὶ τὰς φήμας διαγγέλλων. ὁ πρέσβυς καὶ ἀγγελεὺς καὶ ἐπιςολεύς. καὶ ἀγγελιαφόρος καὶ ἀγγείλης καὶ ἀπόςολος.

Αγγελοφόρος. πρεσβευτής.

Αγγελλία. ἀκοή. φήμη. ἀπόφανσις.

Αγγελόης. ἄγγελος.

Αγε. φέρε. κόμιζε ἢ βλέπε.

Αγει. φέρει. κομίζει. πράττει.

Αγασσόμενοι. θαυμάζοντες.

Αγαυὸς θαυμαςός. λαμπρός. ἢ ὁ ἥλιος.

Αγείρατον. ἄτιμον ἀπὸ τοῦ γέρας.

Αγεροπεῖ. ἐφορᾷ.

Αγεννῶς. ἀσθενῶς. ἀνάνδρως.

Αγελάσκον. ἄτιμον.

Αγελάιων. ἀμαθῶν. ἰδιωτῶν. ἀγροίκων.

Αγευςοι. ἄπειροι.

Αγείρει. συναθροίζει.

Αγρωσσεῖ. ἀγρυπνεῖ.

Αγρώψατο. ἠμέλησεν.

Αγέρωχος. ὑπερόπτης. ἔντιμος. ὑπερήφανος. ὑβριστὴς. αὐθάδης.
Αγερωχίας. ὑπερηφανίας.
Αγεδῆτα. δεῦτε δή. καὶ φέρε δή.
Αγειν. καὶ φέρειν. τὸ λῃστεύειν καὶ ἁρπάζειν. ἄγεται μὲν γὰρ τὰ ἔμψυχα. ἐφέρετο δὲ τὰ ἄψυχα.
Αγεληδὸν. ἠθροισμένως ὡς ἀγέλη. διαφέρει ἀγέλη ποίμνης ἀγέλη ἐπὶ βοῶν. ποίμνη ἐπὶ προβάτων.
Αγινεῖν. φέρειν.
Αγιος. ἐκ τοῦ ἄγους γέγονος. ἅγιον δέ ἐστι τὸ παντὸς ἄγους ὢν ἀνώτερον. ἅγιοι καθαροί.
Αγίνεσκον. ἔφερον
Αγιστείας. ἁγιωσύνης. καθαρότητος. ἢ λατρείας
Αγιώχασιν. ἤνεγκαν.
Αγιστείαν. εὐσέβειαν. ἐθότε καὶ μακρότητα.
Αγιοπρεπῶς. ἁγίως πρέπει.
Αγήνωρ. ὑπερήφανος. αὐθάδης.
Αγήρυος. ἄφθαρτος. μὴ ἔχων τέλος. ἀπέραντος.
Αγκαλέει. ἀναγκαλεῖται.
Αγκός. ὁ κοῖλος τόπος τῆς γῆς.
Αγλήεντα. ἀστράπτοντα.
Αγιάσατε. προτρεπίσατε. κηρύξατε.
Αγκηθὴς. ἀβλαβής.
Αγκυλον. ἐπικαμπές.
Αγκαλίδα. μερίδα.

Αγκύλον. σκολιὸν δυχερὲς. ποικύλον.

Αγκυλόχειλον. σκολιόχειλον

Αγκῶνες. δωράτια οὐ λίαν σμικρὰ ἀλλ' οὐδὲ μεγάλα. ἀλλ' ὅσον ἀκοντίζεσθαι ἐπουδεήσει.

Αγλαὸς. καλὸς. λαμπρὸς.

Αγκαλεῖ. ἀναγινώσκει.

Αγρυπει. ὑβρίζει.

Αγκυλομήτης. σκολιὰ βουλόμενος μήτε γὰρ ἡ βουλή

Αγλαοὶ. λαμπροί.

Αγλαότιμον. λαμπρῶς τετιμημένων.

Αγλαΐζει. θάλλει. φαιδρύνει.

Αγνεια. καθαρότης.

Αγνωςος. ὁ μὴ ἐπιγινωσκόμενος

Αγκύλειν. τὸ ὄπισθεν μέρος τοῦ γόνατος.

Αγκυρα. πόλις καὶ ἐργάλιόν τι σιδηροῦν καμπτόμενον ἀπὸ τῆς νηός. ἡ ἀξίνη τῆς νηός. καταχρηστικῶς δὲ ἡ βάσις καὶ τὸ στήριγμα τῆς πίστεως.

Αγμὴ. ἡ νεότης.

Αγνῶτας. ἀγνωοῦντας. μὴ γνωρίζοντας.

Αγνωμόνως. ἀλογίςως. ἢ ἀνοήτως.

Αγνυται. κλᾶται.

Αγξαι. πνῖξαι.

Αγνὸς. καθαρὸς. ἀμίαντος.

Αγουσι. προσφέρουσι.

Ἀγοργής. πραγματευτής.
Ἄγνος. τὸ φυτόν.
Ἀγροικος. ὁ ἐν ἀγρῷ διαιτώμενος.
Ἀγνωεῖν. ἀνοεῖν.
Ἄγρωστις. ἄγριός τις βοτάνη.
Ἄγραυλοι. οἱ ἄγροικοι. τουτέστιν οἱ ἐν ἀγροῖς αὐλιζόμενοι.
Ἀγρομένοις. συναθροιζομένοις.
Ἀγρὸς. ὁ χωρὶς τῆς κώμης ἤτοι τῶν οἰκητόρων τόπος.
Ἄγρωστις. εἶδος πόας χορτώδους.
Ἀγορὰ. διὰ τὸ ἄγαν ῥέειν ἕκαστον πρᾶγμα.
Ἀγορήτης. ὁ ῥήτωρ ὁ ἀγορεύειν καὶ λέγειν εἰδώς.
Ἀγορεύω. λέγω.
Ἀγοραῖοι. οἱ ἐν ἀγορᾷ συστρεφόμενοι νέοι.
Ἀγρονομίας. λογιστείας. εἴρηται δὲ ἐπισκοπούντων τὰ
τῶν πόλεων ὤνια.
Ἄγος. βίασμα. βδέλυγμα.
Ἀγορήν. ἐκκλησίαν. συναγωγήν.
Ἀγορηταί. σύμβουλοι. φρόνιμοι. δημηγόροι.
Ἀγριόθυμος. ἄγριος τῇ ψυχῇ.
Ἀγρονόμοι. οἱ ἐν ἀγρῷ διανυκτερεύοντες.
Ἀγροικότατος. ἀπαίδευτης.
Ἄγρας. θήρας παγίδας.
Ἄγραφα. ἀδικήματα ὑπὲρ ὧν νόμος οὐ γέγραπται.
Ἀγονία. τὸ μὴ γεννᾶν.
Ἀγυρτικὰ. χύδαια ψεύσματα.

Ἀγύρτης. ὁ ἀλαζὼν καὶ ἐπαίτης συρφετώδης. ὀχλαγωγός.

Ἄγυρις. ἄθροισις. ἐκκλησία.

Ἀγριστῆναι. νύμφαι.

Ἀγυιαί. ἀγοραί. ἄμφοδα. ἔμβολοι. ῥῦμαι. ὁδός.

Ἀγχιστίνη. πυκνή.

Ἀγχιστείας. συγγενείας.

Ἀγχίθυρον. γείτονα τὸν πλησίον τῆς θύρας.

Ἀγχινοίας. ὀξύτητος νοήσεως.

Ἀγχί. ἐγγύς.

Ἀγωνία. τὸ ἀγωνιᾶν.

Ἀγχίνουν. συνετόν.

Ἀγχιτέρμων. ὁ γείτων.

Ἀγχίστροφος. ταχέως στρεφόμενος.

Ἀγχέμαχος. ὁ ἐγγὺς μαχόμενος.

Ἄγχου. ἐγγύς.

Ἀγχόνη. ὁ πνιγμός.

Ἄγχων. κατέχων. πνίγων.

Ἀγχόμαχον. ἰσόπεδον. ἐγγὺς ἔχων τὴν ὁμαλότητα.

Ἀγωνιῶν. κινδυνεύων.

Ἀγωγίμων. φορτίων βασταζομένων.

Ἀγωγή. τρόπος εἴρηται. παρὰ τὸ ἄγειν τοὺς ἀγνώμονας εἰς τὴν διδαχήν.

Ἀγωγοῖς. τοῖς ἄγουσιν ὁδηγοῖς.

Ἀγῶνος. φιλονεικία κρίσεως.

Ἄγω. ἀπάγω. φέρω. ἢ θαυμάζω.

Ἀδαὴ. ἄπειρον.

Ἀδαῶν. ἀμαθῶν.

Ἀδαμάντινα. στερράν.

Ἀδάμαστον. ἀνυπότακτον.

Ἀδαήμονας. ἀπείρους. ἀμαθεῖς.

Ἀδάκρυτος. ἄλυπος.

Ἀδαλὲς. ὑγιές.

Ἀδαίομεν. αἰσχύνομεν.

Ἀδεκάστως. ἀμερίστως. δικαίως

Ἀδέκαστος. δίκαιος. ὁ ἀδωροδόκητος καὶ ἀπροσωπόληπτος.

Ἀδελφὸς. ἀπὸ τοῦ δελφὺς ὃ σημαίνει τὴν μήτραν. τουτέστιν.
. ἐκ τῆς αὐτῆς δελφύος. τουτέστι γαστρός.

Ἀδην. σημαίνει τὸ δαψιλῶς. καὶ ἐξ αὐτοῦ ἀδηφάγος ὁ δαψι-
λῶς ἐσθίων.

Ἀδης. σκοτίας οἰκία.

Ἀδήριτος. ὁ ἄμαχος.

Ἀδήωτον. ἀπολέμητον. ὁ ἀπρέδευτον [αὐτ] ἀπόρθητον.

Ἀδειμον. ἄφοβον.

Ἀδει. ὑμνεῖ.

Ἀδείμαντον. ἀνοικοδόμητον.

Ἀδελφιδοῦς. ὁ τοῦ ἀδελφοῦ υἱός.

Ἀδελφὰ. ὅμοια παραπλήσια.

Ἀδεύκεα. πικράν.

Ἀδάζων. ἀναβοῶν. ἀναστενάζων

Ἀδερκὲς. μὴ ὁρώμενον.

Ἀδηφάγος. ἀθρόως ἐσθίων. πολυφάγος. γαστρίμαργος.
Ἀγρίωπον. ἀγριόφθαλμον.
Ἀγείρειν. τὸ πτωχεύειν καὶ περινοστεῖν.
Ἀδηνον καρ. ποικιλὴν ψυχήν.
Ἀδιαλώβητον. ἀβλαβές.
Ἀδιάθρυπτα. ἀμάσητα.
Ἀδιάλλακτον. τὸ εἰς φιλίαν μὴ ἐρχόμενον.
Ἀδιαιρέτων. ἀτμήτων. ἀχωρίστων.
Ἀδιάσπαστον. ἄῤῥηκτον ἢ ἀδιαχώριστον.
Ἄδεια. ἄνεσις. ἀφοβία.
Ἀδιόριστον. ἀναμίξ.
Ἀδήριτον. ἄμαχον. ἀπολέμητον.
Ἀδιαφόρως. χωρὶς παρατηρήσεως.
Ἀδιάρθρωτον. ἄσημον. ἀτράνωτον.
Ἀδιαφορία. ἀμέλεια. χωρὶς παρατηρήσεως.
Ἀδιάκριτος. ἀδιαχώριστος. λαμβάνει δὲ καὶ ἐπὶ τῶν μὴ γι-
νωσκόντων τὰ δέοντα. ἢ ἀφρόνως φλυαρούντων.
Ἀδόνητον. ἀσάλευτον
Ἀδολεσχεῖ. φλυαρεῖ μεταιωρίζεται ἢ στενοχωρεῖται.
Ἀδολεσχία. σημαίνει δ΄. τὸ φλυαρῶ. ὡς τὸ. ἐλυπήθην
ἐν τῇ ἀδολεσχίᾳ μου. καὶ τὸ φιλοσοφῶ. ὁ δὲ δοῦλος
σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. καὶ τὸ παίζω.
ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον. καὶ τὸ ὀλι-
γοψυχῶ ὡς τὸ. ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ
πνεῦμά μου.

Ἀδολεχία. ἐστιν ἡ ἐμμονος μετὰ λύπης μέριμνα καὶ φροντίς

Ἀδοκήτου. ἀπροσδοκήτου. ἀνυπονοήτου.

Ἀδόκιμον. ἄχρηστον. ἀπόβλητον.

Ἀδολεχία. ἡ ἐν καρδίᾳ ἐπὶ πολὺ λύπη καὶ ἡ στεναχωρία.

Ἀδάμας. λίθος. γένος ἄθραυστον καὶ ὁ γενναῖος ἄνοσος.

Ἀδος. ὁ κόρος. λέγεται καὶ ἡδονή.

Ἀδω. σημαίνει Γ': τὸ ψάλλω. τὸ ὀρχοῦμαι. τὸ ὑμνῶ.

Ἀδὴς. ὁ μὴ ἔχων εἶδος.

Ἀδονήτους. ἀσαλεύτους.

Ἀδρὸν. μέγα δαψιλές.

Ἀδρανὲς. ἀσθενὲς. ἀδύναμον.

Ἀδρύνοιτο. αὐξάνοιτο.

Ἀδροὶ. μεγάλοι. πλούσιοι.

Ἀδὺς. ἡδύς.

Ἀδρανέων. μὴ ἐνεργῶν.

Ἀδρανῶς. ἀσθενῶς. μὴ ἐνεργόντως.

Ἀδοναὲς. ὑπὸ τὸν ἄδην.

Ἀδωρολήπτως. ἀδωροδοκήτως.

Ἀδύτων. τῶν ὑπο κάτω τοῦ ἱεροῦ.

Ἀδυτα. ἅγια σπήλαια. ἤτο ἀπόκρυφα. ἐνδότατα μέρη τοῦ ἱεροῦ.

Ἀεθλάειν. ἀγωνίζεσθαι.

Ἀένναον. ἀεὶ βλύζ. αἰώνιον.

Ἀεθλεύων. ἀγωνιζόμενος.

Ἀέθλους. ἄθλους.

Ἀεθλοφόρους. ἀγωνιστάς.
Ἀεροβατῶν. εἰς τὸν ἀέρα περιπατῶν.
Αἴθω. ἀπέλθω.
Ἀειδής. ὁ μὴ ἔχων εἶδος.
Ἀείσυρον. κοῦφον.
Ἀειγενέτῃσιν. διὰ παντὸς οὖσιν.
Ἀεικέλιον. σκληρὸν καὶ ἀπρεπές.
Ἀείδελος. ὁ ἀφανής. καὶ ἀόρατος.
Ἀείδηλον. τὸ ἀεὶ δῆλον.
Ἀειλογία. πολυλογία.
Ἀείρας. ἐπάρας. κουφήσας.
Ἀειρόμενος. ἐπαιρόμενος.
Ἄειδε. ᾆδε καὶ λέγε.
Ἀειθαλές. ἀειθάλλον.
Ἀείρρυτον. ἀεὶ ῥέων.
Ἀείμος. ἀένναος.
Ἀεικελίους δεινοὺς ταλαιπόρους. ἐντελεῖς. αἰσχρούς. ματαίους. ἀπρεπεῖς οὐδενὸς λόγου ἀξίους.
Ἀελλόπους. ταχύτατος ὀξύπους.
Ἀένναος. ἀεὶ ῥέων. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀεὶ ὄντος ἀιδίου.
Ἄειρος. ἄπειρος.
Ἀεργός. ἀργός. ὀκνηρὸς ἀκαμάτης.
Ἀειρομέναις. κουφιζομέναις.
Ἀείρω. κουφίζω. ἐπαίρω.

Αεθλοσύνης. ἀγωνίας.

Αείσομεν. ἀκούσομεν.

Αεὶ. διαπαντός.

Αειδεῖς. ἀφανεῖς.

Αείκιστιν. ἀπρέπιστων.

Αείτης. ἑταῖρος. ἀπὸ τοῦ ἀεὶ συνεῖναι τοῖς ἑταίροις.

Αεκέστερος. ὁ ἀπρεπέστερος.

Αετος. ὁ μάταιος καὶ ψευδής.

Αειδαρος. διὰ τὸ ἀεὶ δέρεσθαι.

Αεῖραι. ἆραι βαστάσαι.

Αεισέβαστος. διὰ παντὸς σεβόμενος ἢ τιμώμενος.

Αειράται. ἐπαράται.

Αέκουσιν. ἄκουσι καὶ μὴ βουλομένοις.

Αέκοντας. ἄκοντας καὶ μὴ βουλομένους.

Αελπτον. ἀνέλπιστον ἀπροσδόκητον.

Αεικῶς. ἀπρεπῶς.

Αειμος. οἶκος ἀεὶ. διὰ παντὸς.

Αειθες. πομφόλυγες.

Αελλόπους. ταχεῖα.

Αελλόβης. μετὰ ἀνέμου ὁμοχλώδους.

Αέλλαι. ἀνέμων πνοαὶ μετὰ ταραχῆς.

Αερθεὶς. μετεωρισθείς.

Αεσίφρων. ὀξύφρων.

Αζαλέας. ξηράς.

Αἴζεο. ἐντρέπου. τίμα.

Αἴζη. ξηρασία.

Αἴζηλοι. ὕβρισαὶ. ἄτιμοι. ἐξουθενόμενοι.

Αἰζηχεὶς. ἀδιαλήπτως.

Αἰζηχής. σκληρὰ. χαλεπὴ. καὶ ἀναιδής.

Αἴζομαι. αἰσχύνομαι. ἢ σέβομαι. ἢ ὑποχωρῶ.

Αἰζόμενος. ἐντρεπόμενος.

Αἴζυγες. ἄζευκτοι. μονάζοντες.

Αἴζυξ. μονάζων.

Αἴζευκτος. παρθενεύων.

Αηδὼν. οὕτω λεγόμενον.

Αηδὲς. στυγνὸν. λυπηρόν.

Αἴζυμοι. καθαροί.

Αήθης. ἀτριβής. ἄγριος.

Αήτης. ἄνεμος.

Αητο. ἔπνειν. ἐφέρετο.

Αημα. πνεῦμα. ἄνεμος.

Αηδῆ. τὰ ἄγλυκα.

Αθαμβὴς. ἄφοβος.

Αθλον. ἐπάθλου διαφέρει. ἄθλον μὲν γὰρ καλεῖται ὁ αὐτὸς ἀγὼν. ἔπαθλον δὲ τῷ νικήσαντι τὸ διδόμενον δῶρον.

Αθλήσαντα. κακοπαθήσοντα.

Αθλον ἀρετῆς. ἀντὶ τοῦ γέρας ἀρετῆς ἐπινίκιον. οὐδέτερον δὲ. ἀρσενικὸς γὰρ ὁ ἆθλος.

Αθλοθέται. οἱ ἐν τοῖς γυμνικοῖς.

Ἀθηναίων. ἀνδρῶν. ἀθηναίων δι' τῶν ἀθηνῶν.

Ἀθήναζε. εἰς ἀθήνας.

Ἄθεσμος. ἄδικος. ἄνομος.

Ἀθερίζει. ἀποδοκιμάζει.

Ἀθεσίαν. παραβασίαν.

Ἀθέσβατον. πολύν.

Ἀθέμιτον. ἄδικον.

Ἀθήλυντος. Ἀνδρώδης. γενναῖος.

Ἀθλῶν. ἀγώνισμα τιμήν.

Ἀθλοδώρα. νικητὴς ἐκ πολέμου.

Ἀθμονεύς. ἀπόδημος.

Ἀθήκτον. ἀψηλάφητον. ἀμόλυντον. καθαρόν.

Ἀθρῶν. βλέπων. θεωρῶν.

Ἀθήνησιν. ἐν ἀθήναις.

Ἄθηρον. ἀθήρατον.

Ἀθλοθέτης. ἀγωνοθέτης.

Ἆθλον. ἀγώνισμα. καὶ τὸ ἐπὶ τὴν νίκην διδόμενον βρα=
=βεῖον.

Ἆθλα. βραβεῖα.

Ἄθλιος. ταλαίπωρος ἢ δυστυχής.

Ἀθηρίλοιγον. τὸ πτύον ᾧ τοὺς ἀθέρας διαχωρίζει καὶ δια=
λέγει.

Ἀηδής. ἀμαθής. λέγεται καὶ ἀνωφελής.

Ἀζόμενοι. σεβόμενοι.

Ἄθεσμος. ἄδικος.

Ἀθαμάντι. ὄνομα ἱερόν.
Ἀθερόσσει. ἀγρυπνεῖ.
Ἀθαρστῶς. ἀκριβῶς.
Ἀθῷος. ὁ ἀνάττιος.
Ἀθῷος. καὶ ἀζήμιος.
Ἀθρῶσι. ταχεῖς.
Ἀθετμήτοις. ἀδίκοις.
Ἀθλεῖν. ἀγωνίζεσθαι.
Ἀθλοφόρους. ἀγωνιστάς.
Ἀθρόως. ταχέως. σφοδρῶς. αἰφνιδίως.
Ἀθρεῖ. θεωρεῖ. σκόπει. βλέπει. νοεῖ.
Ἀθροίζει. συνάγει.
Ἀθροισμα. συναγωγή. πλῆθος.
Ἀθρόος. ἄφοβος.
Ἀθραυστον. ἰσχυρόν. ἄκλαστον.
Ἀθροίσθητε. συνάχθητε.
Ἀθρῆσον. θεώρησον.
Ἀθύρων. παίζων.
Ἀθύρματα. κόσμια ἢ παίγνια.
Ἀθυρεῖν. παίζειν.
Ἀθυρογλωττία. ἀθυροστομία. φλυαρία ἐκ τοῦ μὴ θύραν ἐπιτιθέναι τῇ γλώσσῃ.
Ἄθρει δὴ οὖν. νόησον δὴ οὖν.
Ἀθροῦν. ἄφωνον ἢ ὁμοῦ.
Ἀθύροντας. παίζοντας.

Αθυμοῦσι. λυποῦνται.

Αθυροστομεῖ. φλυαρεῖ.

Αθροον. πολύ.

Αθώπευστον. ἀκολάκευτον. ἄσπλαγχον.

Αῶος. ἀναίτιος.

Ασθμα. φύσημα. πνεῦμα.

Αιαψ. μάταιος.

Αιγλη. λαμπηδών.

Αιάζειν. τὸ θρηνεῖν. παρὰ τὸ αἶ σχετλιαστικὸν ἐπίῤῥημα.

Αιγλης. ἐλλάμψεως.

Αιγανέη. τὸ ἀκόντιον ἤτοι τὸ κόνταρον.

Αιγειροι. εἶδος δένδρων.

Αϊδίων. αἰωνίων.

Αΐδης. ἄδης.

Αιγιαλός. διὰ τὸ ἐγγύζειν τῇ ἅλα.

Αιγίλιψ. ἡ ὑψηλὴ πέτρα.

Αιγλῆντα. ὄνομα θηλυκὸν καὶ κλίνεται ἡ αἰγλήντα τῆς
αἰγλήντης. γέγονε δὲ ἀπὸ τοῦ αἴγλη αἰγλήεις. αἰγλή-
εντος. καὶ ἡ αἰτιατικὴ αἰγλήεντα. καὶ κατὰ κρᾶσιν
αἰγλῆντα. καὶ λέγεται ἡ αἰτιατικὴ εἰς

Αιάζω. τὸ στενάζω. βοῶ καὶ ἀναβοῶ. οὗ ὁ μέλλων αἰάξω.

Αιγόκερος. ὁ ἀστὴρ. καὶ ζῶον αἰγίδιον κέρατον ἔχον.

Αιγυπτος. παρὰ τὸ ἄγαν πιαίνειν καὶ συστραφῇ ἵνα
δίονει λιπαράν.

Αιδοῦς. αἰσχύνης. ἐντροπῆς. εὐλαβείας.

Αἰδεσιμώτατος. αἰδοῦς ἄξιος. τουτέστι τιμῆς.
Αἰδέσιμον. ἀξιοτίμητον.
Αἴγινα. νῆσος.
Αἰθάσσουσαν. λάμπουσαν.
Αἰδοῖα. παρὰ τοῦ αἰδῶ. ὅτι αἰδοίμεθα αὐτὰ γυμνῶσαι.
Αἰγεῖα. θάλασσα.
Αἰδώ. αἰσχύνη. ἐντροπή. εὐλάβεια
Αἰδώνια. θανάσιμα.
Αἰὲν. διαπαντός.
Αἶγεον. ἀλύμωτον. πέλαγον.
Αἰδοφρῦν. αἰσχυντηρῶν.
Αἰγλήεσσαν. λαμπράν.
Αἰζήϊος. νεώτερος. ἀκμάζων. νεανίας.
Αἴδυλος. θρασὺς. ἀμαθής.
Αἴης. γαίης.
Αἴδρις. ἄπειρος.
Αἶα. γῆ.
Αἰθρία. εὐδία. γαλήνη.
Αἰθάλη. καπνὸς. ἀσβόλη. τέφρα.
Αἰθαλόδη. μέλανα ἢ πυῤῥά.
Αἰθάλη. σποδὸς. τὸ ἐκ καμίνου μέλαν.
Αἰθόμενον. καιόμενον. φλεγόμενον.
Αἶθος. καῦμα ἢ φλογμός.
Αἴθω. καίω.

Αἰθεριονόμων. τῶν ἐν ὕψει νόμων ἐχόντων.

Αἴθηραν. τρίχα.

Αἴθονα. ἔνθερμον. λαμπρόν.

Αἶθε. εἴθε. ἄβαλε.

Αἰθὴρ. ὁ ἐν ὕψει ἀὴρ.

Αἰθέρος. ἀέρος.

Αἰθήσουσαν. λάμπουσαν.

Αἰθρίσομαι. ἐπιβλέψομαι.

Αἰθριπῖος. παρὰ τὸ ἵπταθαι ἐν τῷ αἰθέρι.

Αἰμυλίοισι. ἐμπείροις. κολακευτικοῖς. καὶ συνετοῖς.

Αἰμωδεῖν. τὸ τοὺς ὀδόντας ὀδύναθαι μετὰ κνησμοῦ
αἱμωδία γὰρ λέγεται ἡ τῶν ὀδόντων νάρκη.

Αἴθοπα. μέλανα.

Αἶκαι. αἱ πνοαί.

Αἰθριοποιοῦ. καθαροποιοῦ. ἀθόλωτον.

Αἴθωνας. λαμπροὺς. ξανθούς.

Αἰκόσιαι. αἱ γωνίαι τοῦ βέλους.

Αἰκίαι. ὕβρεις. πληγαί. μάστιγες. τιμωρίαι. τρώσεις.

Αἰκίζει. μαστίζει. κακοῖ τύπτει.

Αἶκεν. ἐάν.

Αἴλιοι. σύγγαμβροι.

Αἱμασιαὶ. φραγμοί.

Αἱμύλος. ἔμπειρος. κόλαξ. ἀπατεών. συνετός.

Αἷμα. πόσα σημαίνει. τὸ γένος σπέρμα. καὶ τὸ ἀπὸ πλη-
γῶν τοῦ σώματος ῥέον αἷμα. καὶ λύθρον τὸ αὐτό.

Αἱμοβόροι. αἷμα ἐσθίοντες. βόρα γὰρ ἡ τροφή.
Αἴνιγμα. ζήτημα.
Αἰνήν. δεινήν.
Αἵμων. ὁ ἔμπειρος.
Αἰνιγματωδῶς. δυσχερῶς. ἀσυμφώνως. ἐπικεκαλυμμένως.
Ἀσηκρήτης. ὑπογραφεύς. ὁ τοῖς τῶν κρατούντων μυστηρίοις ὑπηρετούμενος.
Αἰνιττόμενος. δι' αἰνιγμάτων καὶ παραβολῶν λέγων.
Αἶπος. τὸ ὑψηλόν. καὶ ἔπος ὁ λόγος.
Αἰπόλος. τῆς αἰγός.
Αἰνέσαιμι. ἐπαινέσαιμι.
Αἶνους. Αἴπαινους.
Αἶνον. ὕμνον.
Αἶνος. μῦθος. ἰαίνω τὸ τέρπω καὶ διαχέω.
Αἰξωνεύεσθαι. σημαίνει τὸ κατηγορεῖν.
Αἰολόπωλος. σημαίνει τὸν ταχὺν καὶ εὐκίνητον ἵππον.
Αἴτιος. αἴτη ὁ σημαίνει τὴν βλάβην. αἴτιος καὶ πλεονασμοῦ τοῦ Ι αἴπιος ὁ βλάπτων.
Αἰνίττεται. ἀσήμως λέγεται.
Αἰνότατος. δεινότατος.
Αἰνός. ὀξυτόνως ὁ δεινός.
Αἰνόμορος. ταχὺ θάνατος.
Αἰνίξαι. ὑποφῆναι.
Αἰνίζομαι. ἐπαινῶ.
Αἰνοτόκος. κακὰ γεννῶσα.
Αἰνοτόκος. ἐπὶ κακῷ τεχθείς.

Αἴξας. πηδήσας. ὁρμήσας. κινήσας. ἐπεκδραμών.
Αἴξ. τὸ αἰγίδιον.
Αινίεισιν. ἐπιδίδωσιν.
Αιολίσασα. ἀθροίσασα.
Αιων. αἰγιαλοί.
Αιωλον. ποικίλον.
Αιπύς. ὁ χαλεπὸς καὶ σκληρός.
Αιπεινός. ὑψηλός.
Αιπόλος. αἰγονόμος ποιμήν.
Αιπύν. ὑψηλόν.
Αιπύς. ὑψηλός.
Αιρόπινον. τὸ ἀραιὸν κόσκινον.
Αιπολίαι. ἀγέλαι αἰγῶν.
Αιρετὸν. ἐπιθυμητὸν.
Αιπορίαι σου. αἱ ὁδοί σου.
Αιροῦμαι. προκρίνω.
Αιρήσομαι. σκέψομαι. βουλεύσομαι. ἐκλέξομαι.
Αιρετιεῖ με. προτιμοτέραν με ἡγήσεται.
Αιρα. ἡ σφαῖρα.
Αιρεσις. συγκατάθεσις.
Αιρω. ἐπαίρω.
Αιροῦμαι. ἐπιλέξομαι.
Αιρετώτερον. βέλτιον.
Αιρομένη. ἐπιλεγομένη.
Αιρήσομεν. πορθήσομεν. ἐρημώσομεν.

Αἴρω. τὸ κουφίζω. καὶ αἴρω τὸ προσφέρω. αἴρω τὸ καταβάλλω. καὶ αἴρω τὸ πορθῶ.

Αἰρόπινον. τὸ ἀραιὸν κόσκινον.

Αἱρετὸς. ἀρεστὸς. ἐπίλεκτος. καὶ αἱρετὸς ὁ αἱρεσιουργός.

Αἴθω. σημαίνει β. τό,τε νοῶ. ὃ καὶ ψιλοῦναι τό,τε χαίρομαι καὶ δασύνεται. ἐξ οὗ καὶ τὸ ἥθην ἐν τοῖς λόγοις. καὶ ὁ θεολόγος. οὐχ' ἵνα συνηθῶσιν. ἀλλ' ἵνα ἐφησθῶσιν.

Αἴσθησις. ἐστὶ πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ἐργατικὰ ἀνατεμνόμενον. Αἰσθήσεις δὲ τῆς ψυχῆς εἰσὶν ε΄. νοῦς. διάνοια. δόξα. αἴσθησις καὶ φαντασία.

Αἶσα. ἡ μοῖρα.

Αἰσχρὸς. ὁ αἰσχύνης μετέχων.

Αἴσθησις. νόησις.

Αἰσθητήρια. τὰ μέλη δι' ὧν αἰσθανόμεθα. εἰσὶ δὲ τοῦ ἀνθρώπου αἰσθήσεις ε΄. ὅρασις. ὄσφρησις. ἀκοὴ. γεῦσις. καὶ ἁφή.

Αἴσχιστος. αἰσχρότατος. κάκιστος. ἐπονείδιστος.

Αἴσια. γνήσια. ἀγαθὰ. εἰρηνικὰ. συμφέροντα.

Αἴτνη. ὄρος. σικελίας.

Αἴσιμα. δίκαια. καθήκοντα.

Αἴθων. ὁ ἐμπνέων.

Αἰσιμία. μαντεία.

Αἰσχίω. χείρωνα ἀπρεπῆ.

Αἴσυλα. ῥέζης. ἄδικα πράξεις.

Αἴσιος. σημαίνει τὸν ἀκούοντα.

Αἶσχος. ἁμαρτία. λοιδωρία. μῖσος αἰσχύνης ἄξιον
καὶ σαπρίας μῖσος.
Αἰσήτωρ. Χοιροβοσκός.
Αἰσιμοῦν. ἀναλίσκειν.
Αἶσχος. ῥύπος. μίασμα.
Αἰσθοίμην. νοησαίμην.
Αἴσυλος. ὁ ἄδικος καὶ ἁμαρτωλός.
Αἰτιάτων. ἐγκλημάτων.
Αἰσυμνητήρ. ὁ Βασιλεύς.
Αἰχμάς. τὰς ἐπιδορατίδας τῶν σιδήρων.
Αἰστῶσαι. ἀφανίσαι σφάξαι.
Αἰχμήτης. ὁ ἔνοπλος μαχιμώτατος. πολεμιστής.
Αἰσυμνηταί. οἱ παρ' ἡμῶν λεγόμενοι Βραβευταὶ καὶ
ἀγωνοθέται ἤτοι ἐπίσκοποι τοῦ ἀγῶνος.
Αἶψα. ταχέως.
Αἰψηρόν. ταχύν.
Αἰψελλίζουσαι. αἱ ἀσήμως λέγουσαι.
Αἰών. Χρόνων πολλῶν ἔκτασις.
Αἰω. ἀνατολή.
Αἰωλον. μάταιον. ἄπρακτον.
Αἰωροῦμαι. φέρομαι.
Ἀΐω. ἀκούω.
Ἀΐος. ἄφωνος.
Ἀωρία. ἀγχόνη.

Αἶψα. ἐπίῤῥημα. σημαίνει δέ τὸ ταχέως.

Ἀκαλύφη. ἡ κνίδα καὶ φύτα θαλλά.

Αἰὼν. σημαίνει ε̄. αἰὼν λέγεται ἡ ἑκάστου ἀνθρώπου ζωή. καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμός. αἰὼν λέγεται καὶ ὁ μέλλων ἀΐδιος καὶ ἀτελεύτητος. καὶ οἱ ζ̄ αἰῶνες. καὶ ὁ νωτιαῖος μυελός. ὡς τὸ. ἀνθρωποφονήσας τὸν αἰῶνα ἑβδομαῖος ἀπέθανε.

Ἀκεστὸν. ἰάσιμον.

Ἀκεσώδυνος. ὁ ἰατρὸς ὁ τὴν ὀδύνην θεραπεύων.

Ἀκεσώδυνον. τὸ παυστικὸν τῶν ὀδυνῶν.

Ἀκάρηδον. βραχὺ ὁ λίγον.

Ἀκήματα. θεραπεύματα.

Ἀκὴν. ἐπίῤῥημα μεσότητος. ἀντὶ τοῦ ἡσύχως καὶ ἀφώνως.

Ἀκαλλές. ἄμορφον. ἀπρεπές.

Ἀκαταμάχητον. ἀνίκητον. ἀήττητον.

Ἀκαρίαιον. ὀλίγον. βραχὺ. λεπτόν.

Ἀκάτιον. πλοιάριον μικρόν.

Ἀκατεύναστον. ἀκοίμητον. εὐνὴ γὰρ ἡ κοίτη.

Ἀκάματον. ἀκαταπόνητον. ἀήττητον. ἀσώματον.

Ἀκατάσειστον. ἑδραῖον. βέβαιον. μὴ κατασειόμενον.

Ἀκατάσχετον. ἀκράτητον.

Ἀκατάληκτον. ἀκατάπαυστον. μὴ λῆγον.

Ἀκαταιτίατον. ἀνέγκλητον. ἀκατηγόρητον.

Ἀκατάλληλος. ἀνάρμοστος. ἀκατάστατος.

Ἀκατάληπτον. τὸ ἀπόῤῥητον. καὶ μὴ δὲ ὅλως φραθῆναι δυνάμενον.

Ἀκαπήλευτον. ἀκαδιούργητον. καθαρόν. ἄδολον.

Ἀκαρεῖ. ῥιπεῖ ὀφθαλμοῦ.

Ἀκαθοσίωτον. ἄνομον. ἄκοσμον. ἀπόβλητον.

Ἀκέραιον. ἁπλοῦν. ἄκακον. ὁλόκληρον καὶ ὑγιῆ.

Ἀκίασος. ἀσκόρπισος.

Ἀκέατος. ἀθεράπευτος.

Ἀκεσίπονον. θεραπευτικόν.

Ἀκεσμος. θεραπεία. ἰατρεία.

Ἀκακίζεσθαι. τὸ μηδὲν προσποιεῖσθαι.

Ἀκαμπής. σκληρός. ἀμάλακτος. ἄσπλαγχνος.

Ἄκεσιν. ἴασιν.

Ἀκέσωρ. ἰατρός.

Ἀκήριοι. ἄψυχοι.

Ἀκηδία. μακεδονικὸν φασὶ τὸ ὄνομα σημαίνει δὲ τὴν ῥαθυμίαν. Ἀκεδία ἐστὶν ἀπροσεξία ψυχῆς. ἥτις φι= λεῖ γίνεσθαι τοῖς νήψεως ἀμελοῦσι διὰ τὸ εἰς φροντίδας τῶν ὑλικῶν καταγίνεσθαι.

Ἀκηδία ἐστὶν ἀτονία ψυχῆς.

Ἀκηδιῶ. ἀμελῶ.

Ἀκμηνος. ὁ ἄγευστος καὶ ἄσιτος καὶ ἀκοπίασος.

Ἀγμηνος. ὁ θάλλων. καὶ αὔξων.

Ἀκμῆτες. ἀκοπίασοι μὴ κάμνοντες.

Ἀκήρατον. ἄφθαρτον. αἰώνιον.
Ἀκηχέδαται. λελόπηται.
Ἀκηλίδωτον. καθαρόν.
Ἀκιδρός. ὁ ἀσθενής.
Ἀκήρυκτον. ἀδιάλλακτον.
Ἀκίς. τὸ τοῦ βέλους σιδήριον.
Ἀκινάκις. δόρυ περσικόν.
Ἀκίδας. τῶν βελῶν τὰς ὀξυτήτας. αἱ σαγίτται καλοῦνται.
ἢ λογχάρια.
Ἀκκίζεσθαι. τὸ μωραίνειν. λέγεται δὲ καὶ ἀκὶς ἡ ὀξύτης
τοῦ στάχυος τοῦ σίτου.
Ἀκίβδηλον. καθαρὸν. ἀνόθευτον.
Ἀκίχητα. ἀκατάληπτα.
Ἀκόλουθα. σημαίνει τὸν ὀπίσω τὴν κέλευθον ποιούμενον
τὸ γὰρ α τὸ ὀπίσω σημαίνει.
Ἀκλεα. ἄδοξα. κλέος γὰρ ἡ δόξα.
Ἀκλεῶς. ἀκλειῶς. ἀδόξως.
Ἀκμητί. ἀκόπως.
Ἀκλονήτως. ἀταράχως. κλόνος γὰρ ἡ ταραχή.
Ἀκοντίζου. ἄκουε καὶ ἐνωτίζου.
Ἀκμαιότατος. νεότατος.
Ἀκμάζει. νεάζει. νεωτερίζει.
Ἀκόνιτον. βοτάνη δηλητηριώδης.
Ἀκμή. ἡ τοῦ σιδήρου ὀξύτης. λέγεται δὲ καὶ ἡ νεότης.

Ἀκμαῖος. νεανίας, σφρίγων.
Ἀκονιτὶ. ἀπόνως. ἀνιδρωτί.
Ἀκολασία. πορνεία. ἀκράτητος.
Ἀκόλαστος. κυρίως ὁ ἀπαίδευτος.
Ἀκούσιος. μὴ θέλων.
Ἄκος. ὑγεῖα. ἴαμα. θεράπευμα. κυρίως ἡ διὰ σιδήρου.
Ἀκόρητος. ἀκόσμητος. κορεῖν γὰρ τὸ σάρειν παρὰ ἀττικοῖς.
Ἀκόντιον. δοράτιον μικρόν.
Ἀκοντίζει. τοξεύει. ἄνω ῥίπτει.
Ἀκουστὸν. λαλητόν.
Ἄκομψον. ἀδρανῆ.
Ἀκούσιον. ἀπροαίρετον.
Ἄκοιτις. γυνὴ γαμετή.
Ἄκομψος. ἀπάνουργος.
Ἀκκιζόμενος. προσποιούμενος.
Ἀκκίζεσθαι. ἐπὶ τοῦ θρύπτεσθαι.
Ἀκόλους. ἀψώμους.
Ἄκοσμα. ἄτακτα.
Ἀκράαντον. ἀτελείωτον.
Ἄκρατον. ἀμιγές. ἀσυγκέραστον.
Ἀκρασίας. ἀνωμαλίας. παρὰ τὸ μὴ συγκεκρᾶσθαι.
Ἀκριβής. ὁ μέχρι βίου ζητῶν. καὶ ἀκρίβης. ὁ νέος.
Ἀκέραιος. ἁπλούστατος.

Ακρέμων. καὶ ἀκρέμονες. κυρίως μὲν οἱ βλαστοὶ καὶ οἱ κλάδοι. τῶν δένδρων οἱ κάλλιστοι. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνθρώπων οἱ ἐξοχώτατοι. παρὰ τὸ ἄκρον. ὃ σημαίνει τὸ πέρας τοῦ σώματος. ἢ κεφαλήν.

Ακροβυστία. ἡ ἀπεριτμησία. ἀκροβυστία δὲ ἡ περιτομὴ κατά τινας ἐκ τοῦ ἄκρου καὶ τὸ βύω ἀκρόβυσον τὸ μὴ κεκομμένον. ἀλλ᾽ ὑγιὲς καὶ σῶον καὶ ἀκέραιον εἶναι τὸ τοῦ ἀνδρὸς κρυπτόν. οἱονεὶ ἀκρόκρυπτον. Ακρον σημαίνει καὶ τὸ πέρας καὶ τὸ ἔξοχον.

Ακριτος. ἀτέλεστος.

Ακροδρύων. καρπῶν δένδρων. λέγεται δὲ καὶ τὰ τῶν βλαστῶν, τρυφερότατα.

Ακριτόμυθος. πολυλόγος. ἀκρίτους λόγους ἔχων.

Ακρωτηριάζειν. τὰ ἄκρα τέμνειν.

Ακροθήνια. ἀπαρχαὶ θηνῶν. τουτέστι σωρῶν. καταχρηστικῶς δὲ καὶ πᾶσα ἀπαρχὴ τῶν ἐνιαυσιαίων καρπῶν.

Ακραιφνὲς. διαυγὲς. τέλειον καθαρόν.

Ακράδαντον. ἀσάλευτον. ἄσειστον.

Ακροβόλοι. τοξόται. ἀκοντισταί.

Ακρως. ὑψηλῶς. μεγάλως.

Ακρότομος. ὑψηλή. σκληρά.

Ακρορία. ἐξοχὴ κορυφή εἰς τρία γὰρ τὸ ὄρος εἰς ἀκρορία μὲν ἐστὶν ἡ κορυφή. ὑπωρεία δὲ τὰ πλευρὰ τοῦ ὄρους. τέρματα δὲ τὰ τελευταῖα.

Ἀκρῦ. Ἀληθές.

Ἀκροσφαλής. ἑτοιμόπτωτος. ἄκρως σφαλλόμενος.

Ἀκραγής. ἀπεχθής.

Ἀκτῶν. τῶν γενομένων.

Ἀκταίωρος. φύλαξ.

Ἀκτή. αἰγιαλός. ἡ πρόβολος παραθαλάσσιος.

Ἀκταί. πετρώδεις τόπους.

Ἀκύμονα. ἀτάραχον. ἀσάλευτον.

Ἀκροθώρακες. μέθυσοι

Ἀκρόχειρος. ἀνδροφόνος

Ἀκρόπολις. ἡ κεφαλὴ τῆς πόλεως.

Ἀκτήν. τροφήν.

Ἀκυθον. ἄγρυπνον.

Ἀκταῖον. ὄρθρον.

Ἀκύρους. ἀβεβαίους.

Ἀκύμων. ἡ μὴ γεννῶσα. ὡς καὶ ἐγκύμων ἡ συλλα=
βοῦσα.

Ἄκων. μὴ βουλόμενος.

Ἀκωκή. ὀξύτης. ἡ ἐπιδορατής.

Ἀλᾶται. πλανᾶται.

Ἀλαζονεύεται. ὑπερηφανεύεται. ὑποκρίνεται. ἀπαυθα=
διάζεται.

Ἀλάστωρ. φονεύς. ἀσεβής. κακοποιὸς δαίμων. καὶ ὁ νε=
κρός.

Ἀλλά τι. Ἀλλὰ δή.

Ἀλαλαγμὸς. ἔπαρμα φωνῆς. ἢ ἐπινίκιος ὕμνος.
Ἀλαδίαν. θάλασσαν.
Ἀλαζονήσας. μεγαλοῤῥημονήσας.
Ἀλαλάξατε. ὑψώσατε τὴν φωνήν.
Ἀλαλαγμῷ. εὐφήμῳ βοῇ.
Ἀλάβαστρον. λίθος ἢ ψήφινος μυροθήκη.
Ἀλάβαστρον. ἡ μυροθήκη εἴρηται κατὰ πλεονασμὸν τοῦ ρ. ἀλάβαστός τις ὤν. οὐ λαβέσθαι διὰ λειότητα ἀδύνατον ἐστι δὲ τὸ σκεῦος ἐξ ὑέλου. καὶ ἄλλως. Ἀλάβαστρον μύρου. βυστίον ἐστιν ὑέλουν στρογγυλοειδές. χωροῦν λίτραν μίαν. ἤγουν ἡμίναν. καὶ ἄλλως. τῷ δὲ μέτρῳ ἐστὶ ξέστου τὸ ἥμυσυ. ἀλάβαστρον δὲ λέγεται διὰ τὸ ἔθρυπτον ἅμα πειραζόμενον.
Ἀλαπάζειν. φθείρειν.
Ἄλγος. λύπη. πόνους.
Ἀλαός. τυφλός.
Ἀλγύνει. καταπονεῖ.
Ἀλγεινὴν. χαλεπὴν. πονηράν.
Ἀλγηδόνα. πόνον.
Ἀλγύνοιτο. λυποῖτο.
Ἄλεισον. ἔκπωμα τετορνευμένον.
Ἀλέα. θέρμη.
Ἀλεξητήριον. ἀποσοβητήριον. ἀλέξαι γὰρ τὸ σοβῆσαι.
Ἀλεξῆσαι. βοηθῆσαι.
Ἀλεξιφάρμακον. θεραπευτικὸν βοήθεια.

Αλεώρη. φυλακή. ἤ φυγή. συμφορά.
Αλείφω. Χρίω. ἤλειψεν. ἔχρισεν.
Αλείπτης. λέγεται ὁ συνήγορος.
Αληθῶς. ἐπίῤῥημα βεβαιώσεως
Αλιτηρίου. ἀθέου. ἁμαρτωλοῦ. πλανήτου. θανάτου ἔνοχος.
Αλληγορία. ἄλλο ἀγορεύεσθαι παρὰ τὸ κείμενον.
Αλείτης. πτωχός.
Αλίβας. νεκρος.
Αλιον. μάταιον.
Ἅλιον. δὲ τὸ θαλάσσιον δασύνεται.
Αλίπεδον. ὁμαλὸν ἔδαφος. παρὰ τῇ θαλάσσῃ πεδίον.
Αλκαρ. ἴαμα. καὶ βοήθεια.
Αλίσαι. κυλίσαι.
Αλκή. ἡ ἰχύς.
Αλης. δχα. ἔστι δὲ ἐπίῤῥημα μεσότητος δηλοῦν τὸ δαψιλῶς καὶ πολὺ παρὰ τὴν ἅλα πολλὴν οὖσαν.
Αληπτος. ἀκράτητος. ἀκατάγνωστος οὗ οὐδεὶς δύναται λάβεσθαι.
Αλκύων. ἐστιν εἶδος ὀρνέου. λέγεται δὲ ὑποκοριστικὸν. ἀλκυωνίς.
Αλιστον. ἀλιθάρρητον.
Αλοίτης. πλανίτης. ἁμαρτωλός.
Αλης. πλάνης.
Αλητεύω. πλανῶ.
Αληκτον. ἀκατάπαυστον.

Αλάμπαδνος. ἀσθενής.
Αλεός. μωρος. μάταιος. ὠμός.
Αλεισον. τὸ ποτήριον.
Αλειον. ἱερόν.
Αλαβώδεις. ἀνθρακώδεις.
Αλέασθαι. θερμαίνεσθαι.
Αλέγω. φροντίζω.
Αλέμιον. ἀνδρεῖον.
Αλεγεινός. ἐπώδυνος.
Αλεξῶ. βοηθῶ.
Αλαπάξαι. πορθῆσαι.
Αλάζων. ὑπερήφανος.
Αλέκτρος. ἀκοίμητος.
Αλείς. πληγείς. κρατηθείς.
Αλιτέννης. ἀπάραλος τόπος: τουτέστι παραθαλάσσιος
Αλλη. εἰς ἄλλον τόπον.
Αλεξίκακον. ἀποτρεπτικὸν κακῶν.
Αλύσαι. κυλίσαι.
Αληθοεπῆ. ἀψευδῆ.
Αλιμένοντι. λιμένα μὴ ἔχοντι.
Αλημος. πλάνος.
Αλλ᾽ ἕνεκα. ἀλλὰ χάριν.
Αλληγορούμενον. φυσιολογούμενον.
Αλλὰ δή. μὴ ὅτι οὐχί.
Αλλάγε δή. ἀλλ᾽ ἄφερε δή.
Αλλήλοισιν. ἀλλήλοις.

Αλληλούϊα. αἶνος τῷ ὄντι θεῷ. ἤ αἰνεῖτε τὸν κύριον. καὶ ἄλλως. τῇ ἑβραΐδη διαλέκτῳ ἀλ κραταιὸς. λῆλ θεὸς. ουϊα οὗτος μόνος. καὶ ἄλλως. ἀλ θεὸς. λη ἰσχυρὸς. ουϊα κραταιὸς. καὶ ἄλλως. τὸ ἀλ ἔρχεται ἤ ἐφάνη. τὸ λη θεὸς. τὸ λουϊα ζῶν ἔχει δὲ μῆ. Nº δ.

Αλισγηθῇ. συνεσιαθῇ. μιανθῇ. μολυνθῇ.

Αλίσκεται. συλλαμβάνεται. κρατεῖται.

Αλίσκω. ἐκφεύγω.

Αλιε. ἥλιε.

Αλίτρους. ἁμαρτωλούς

Αλιρρόθιον. κῦμα θαλάσσιον.

Αλλ᾽ ὅτι οἱ. Δ΄΄ μέρη λόγου εἰσιν. ἀλλὰ σύνδεσμος. τὸ ὁ ἄρθρον. τὸ τί ὄνομα οὐδέτερον ἐρωτηματικόν. τὸ οἱ ἀντωνυμία.

Αλιτήμων. ἁμαρτωλός.

Αλισγημάτων. τῶν μιασμάτων ἐκ μυσαρᾶς τῶν εἰδώλων θρησκείας.

Αλίβας. ὁ νεκρὸς. ὁ ξηρὸς. ὁ μὴ ἔχων νοτίδα καὶ λιβάδα. καὶ ἀλίβας τὸ ὄξος.

Αλθαίνοντα. ἰώμενον.

Αλθέτο. τὸ ὑγιαθῆναι καὶ θεραπευθῆναι.

Αλιφάτη. ἐλαία. ἤ ἄλλω. ἀλήματι.

Αλικὸς. ἁλμυρὸς.

Αλδαίνειν. τὸ αὔξειν. ἀπὸ τοῦ ἄλλεσθαι καὶ πηδᾶν.

Αλιβδύειν. τὸ εἰσελθεῖν εἰς τὴν θάλασσαν.

Ἀλίσας. ἀθροίσας συναγαγών.
Ἀλίμοις. βοτάνες δενδροειδέσι παρὰ θάλασσαν.
Ἀλὶ. ἅλατι.
Ἀλκιμώτατον. γενναιότατον.
Ἀλκὴ. ἡ ἰσχύς.
Ἄλκιμος. ἰσχυρός.
Ἀλχαρ. ἴαμα. βοήθεια
Ἀλληγορίας. τροπολογίας. τῆς ἀλλ ὅτι παρα το αχθομενον σημαινούσης.
Ἀλλόχοτος. παρηλλαγμένος
Ἀλλόκοτον. ἀλλότοκον. ἐναντίον. ξένον. ἀνόμοιον.
Ἀλλοπρόσαλλος. ὁ διπρόσωπος. ἢ ὁ εὐμετάβλητος καὶ εὐάρμοτος.
Ἀλοιφῇ. ἐλαίῳ. ἢ ἀλείμματι.
Ἄλφα. ἀπὸ ἀλφῶ τὸ εὑρίσκω. ὅθεν καὶ ἀλφεῖν τὸ ζητεῖν καὶ εὑρίσκειν. ὡς πρῶτον εὑρεθὲν ἀνδράσι.
Ἀλφηστὴς. εὑρετής.
Ἄλλο. πρὸς ἄλλῳ.
Ἅλς. ἡ θάλασσα.
Ἀλλοιῶ. τὸ μεταβάλλω καὶ μεταμορφοῦμαι. ὡς τὸ. αὕτη ἡ ἀλλοίωσις τῆς δεξίας τοῦ ὑψίσου. καὶ ἀλλοιῶ τὸ τύπτω ἐξ οὗ καὶ πατραλοίας. ὁ τὸν πατέρα τύπτων.
Ἀλλότριος. πολέμιος.
Ἀλλοδαπῇ. ξένῃ. ἀλλοτρίᾳ.
Ἄλλως. ἐπίρρημα μεσότητος. σημαίνει δὲ ματαίως.

Αλληλουχία. τὸ ἀλλήλους συνέχειν καὶ συγκρατεῖν.
Αλληλέγγυον. ἡ ἐξ ἀμφοτέρων πίστις.
Αλλ᾽ ὥστε. μάλιστα.
Αλλωστε. καὶ ἄλλως.
Αλσι. θαλαττίῳ ὕδατι.
Αλμάδες. ἐλαῖαι κολυμβάδες.
Αλογήσαντες. καταφρονήσαντες. ἐκ τοῦ μηδένα ποιεῖσθαι λόγον.
Αλωπεκόνησος. ὄνομα νήσου. καὶ ἀλωπεκία τὸ πάθος τὸ
μαδαρὸν τῶν τριχῶν.
Αλουργίς. πορφυρίς. ἡ ἐκ τοῦ κόχλου τῆς θαλάσσης βα-
φεῖσα.
Αλοχεύτω. ἀγεννήτω.
Αλόγος. μωρὸς. ἄφωνος.
Αλσος. σύνδενδρος τόπος ἢ τέμενος. ἀντὶ τοῦ ναός.
Αλυει. ἀδημονεῖ. ἀθυμεῖ λυπεῖται.
Αλφειος. ποταμός.
Αλυσιτελὲς. ἀσύμφερον. βλαβερόν.
Αλύξας. ἐκκλίνας.
Αλυκτοπέδας. χαλεπὰς πέδας.
Αλοσύδνη. ἡ θάλασσα. ἐπιθετικῶς δὲ καὶ ἐπιφωκῶν
εὔνουσα.
Αλέμον. ἀνδρεῖον.
Αλοσύδνης. τῆς θαλάσσης.
Αλυσις. ἡ ἐκ χαλκοῦ πεπλεγμένη σειρά.
Αλυσκάζω. πλανῶμαι.
Αλφους. λευκοὺς ἢ λευκάς.

Αλούς. πιασθείς. καταληφθείς.

Αλοῖον. μάταιον.

Αλογία. παρακοή. λύπη.

Αλοίημεν. ληφθείημεν.

Αλφιτα. ἄλευρα. ἀποκριθῶν νέων.

Αλώσιμος. ληπτός.

Αλῶ. τὸ κρατῶ.

Αλωσις. πόρθησις.

Αλώβητον. ἀνύβριστον. ἄμωμον.

Αλώσημον. ληφθῆναι δυνάμενον.

Αλῶ. πιαθεῖ. λέγεται δὲ καὶ ἡ ἀλωνία. ἀλλ' ἡ μὲν παροξυ-
τόνως. ἡ δὲ περισπωμένως ἐκφωνεῖται.

Αλώβητον. τὸ μὴ βεβλαμένον.

Αλωσιν. φόνον ἐρήμωσιν. αἰχμαλωσίαν.

Αλῶ. σημαίνει τὸ πλανῶ καὶ τὸ συλλαμβάνω.

Αλωπεκία. τὸ πάθος τὸ ψιλωτικὸν τῶν τριχῶν καὶ τῶν
γενείων. ἀπὸ τῆς ἀλώπεκος. μεταφορικῶς. ἡ γὰρ ἀ-
λώπηξ, ἔνθα ἂν οὐρήσῃ. τὸν τόπον ἄκαρπον ποιεῖ ξη-
ραίνουσα τὴν προϋπάρχοντα βοτάνην. καὶ ἑτέραν ἀνα-
βλαστῆσαι οὐ συγχωρεῖ.

Αμαρτία. ἡ ἀποτυχία τοῦ ἀγαθοῦ ἀπὸ τοῦ μάρπτω τὸ καταλαμ-
βάνω μαρπτία καὶ ἁμαρτία μετὰ τοῦ στερητικοῦ ᾱ.
οὗ καὶ τὸ ἥμαρτον. ὃ σημαίνει τὸ ἀπέτυχον τῶν
ἀγαθῶν.

Αμάλη. ἁπαλή.

Αμαλδύνω. ὁμαλίζω ἢ ἀφανίζω διὰ πυρός.

Αμαυρούμενοι. σκοτιζόμενοι ὅθεν καὶ μαυρὸς τὸ μὴ διαφανής.

Αμαξιτῶν. ὁδῶν δημοσίων.
Αμαθος. ἡ μεσόγειος ἄμμος. ἡ δὲ παραθαλάσσιος ψάμμος λέγεται.
Αμαθαίνει. ἀμαθής ἐστιν. ἀγνοεῖ.
Αμάρυγμα. σημαίνει τὴν λαμπηδόνα τοῦ φωτός.
Αμάρη. ἡ ὑδρορόα καὶ ἀπόῤῥοια. ἡ ἀποῤῥοὴ τῆς ὕδατος.
Αμμων. κυρίως τὸ Χεῖλος τῆς λοπάδος. λέγονται δὲ οἱ ὀρεινοὶ. καὶ ὑψηλοὶ τόποι. καὶ ἄλλως. ἄμμων ἀπὸ τοῦ ἀναβαίνειν.
Αμματα. δεσμά.
Αμᾶν. θερίζειν.
Αμαράντινον. ἄσεπτον. ἀειθαλές.
Αμαχον. ἥσυχον. ἢ ἀκαταμάχητον καὶ ἀνταγώνιστον καὶ ἀνίκητον.
Αμαρτῶν. ἀποτυχῶν.
Αμπλακίαν. ἁμαρτίαν
Αμαρύσσειν. φωτίζειν. λάμπειν.
Αμπλάκημα. ἁμάρτημα. ἀποπλάνημα.
Αμάλθακτον. ἀνένδοτον. ἑδραῖον. ἰσχυρόν.
Αμβρόσιον. ἀθάνατον λαμπρόν.
Αμβλὺς. βραδύς.
Αμέθεκτοι. ἀμέτοχοι. ξένοι. ἀπαράδοτοι.
Αμβροσίαν. τὴν τῶν θεῶν βρῶσιν.
Αμβλώματα. ἐκτρώματα.
Αμβασις. ἀνάβασις. ὡς καὶ ἀμβάτης.
Αμβροτος. θεῖος. ἄφθαρτος.

Ἀμβλωθρίδιον. τὸ ἀμβλωθὲν βρέφος. τὸ ἔμβρυον. τουτέστι
τὸ ἄωρον ἔκτρωμα.

Ἀμειδὲς. συγνὸν. σκυθρωπὸν. μειδιᾶν γὰρ τὸ γελᾶν. ἀμείδητον
γάρ ἐστιν ἐφ' ᾧ οὐκάμποτε χαριείη τις ἢ γελάσειεν.

Ἀμείλικτον. σκληρὸν. ἀπότομον. ἀπραΰντον. παρὰ τὸ μὴ μει-
λίσσεσθαι. ὅ ἐστι πραΰνεσθαι.

Ἄμητος. προπαροξυτόνως μὲν ὁ ἀμώμενος καὶ θεριζόμενος
τὸν καρπὸν τοῦ σίτου. ἀμητὸς δὲ ὀξυτόνως ὁ καιρὸς τοῦ θέ-
ρους. ὡς καὶ τρύγητος ὁ καιρὸς τῆς τρύγης.

Ἄμη. τὸ γεωργικὸν ἢ οἰκοδομικὸν ἐργαλεῖον.

Ἀμελλητί. ταχέως μελλήσεως χωρίς. τουτέστι βραδύτητος
καὶ ὑπερθέσεως.

Ἀμεταστρεπτὶ. ἀμεταμελητὶ. ἐπιστρεφομένως.

Ἀμείβοντα. ἀλλάσσοντα.

Ἀμείβου. ἀνταπόδιδου.

Ἀμειψόμεθα. ἀνταποδώσομεν.

Ἀμείβεσθαι. ἀποκρίνεσθαι.

Ἄμεινον. κάλλιον.

Ἀμνὸς. τὸ ἐνιαύσιον πρόβατον.

Ἀμητὸς. αὐτὰ τὰ θερισμένα ὀξυτόνως. οἷον ὁ στάχυς. ὡς
καὶ τρυγητὸς βότρυς ὁ τρυγώμενος.

Ἄμητος. δὲ προπαροξυτόνως ὁ καιρὸς τοῦ θέρους ἐν ᾧ δεῖ
ἀμᾶν. ὡς καὶ τρύγητος ὁ καιρὸς τοῦ τρυγᾶν.

Ἀμνήστειον. τὸ πτύον. ἢ ἀξίνη.

Ἄμμος. παρὰ τὸ ἄμικτον αὐτὴν εἶναι.

Ἀμείνωνος. βελτίωνος. καλλίωνος.
Ἀμέγαρτος. ὁ εὐτελής.
Ἀμέλγει. ἐπισπᾶται τὸ γάλα.
Ἀμείλιχος. σκληρὸς. ἀκολάκευστος.
Ἀμειγῆ. καθαρά. ἄδολα.
Ἀμιλλᾶσθαι. φιλονικεῖν. ἐρίζειν.
Ἄμμε. ἡμᾶς.
Ἀμήχανα. ἀδύνατα. ἄπορα.
Ἀμήρυτον. ἄφθαρτον. ἀτελεύτητον.
Ἀμέρδω. στερῶ.
Ἀμειβέαις. ἀνταλαττομέναις.
Ἀμετρίαν. ὑπερβολήν.
Ἀμέλει. ἀληθῶς. τοιγαροῦν. ἁπλῶς. οὕτως οὖν.
Ἀμίαντον. τὸ πυρακτούμενον καὶ μὴ καιόμενον ξύλον. εὑρίσκεται δὲ ἐν κύπρῳ. ἢ τὸ ἄμωμον καὶ καθαρὸν ἁγνὸς.
Ἀμυήτους. ἀμαθεῖς.
Ἀμήχανον. ὑπερλόγον. ὑπερλαμπρόν.
Ἀμήν. ἀληθῶς ἢ πεπιστευμένως.
Ἃ μὴ θέμις. ἃ μὴ πρέπει.
Ἀμητὸς. θερισμὸς. καθάπερ καὶ τρυγητός.
Ἀμήσαντες. θερίσαντες.
Ἅμιλλαν. ἔριν. ἢ ἀγωνιστικὴν. ἢ δρομικήν.
Ἀμήχανον. ἀδύνατον.
Ἀμιλλώμενοι. φιλονικοῦντες. ἐρίζοντες.

Αμνηστιαν. τὸ μὴ μεμνῆσθαι.
Αμογητει. ἀκόπως. δίχα μόχθου.
Αμοιρῆσαι. ἀποτυχεῖν.
Αμπυκας. χαλινούς.
Αμοιβαδόν. ἐφεξῆς ἀλλάσσοντες. ἢ ἐφίσης ἢ ἐξίσης.
Αμοιβάς. ἀνταποδώσεις.
Αμιδή. φοβερά.
Αμορραῖος. ὄνομα.
Αμολγος. τῷ μεσονυκτίῳ.
Αμοτον. ἀπλήρωτον. ἢ ἀκόρεστον.
Αμοιρος. ἀμέτοχος.
Αμιλλᾶσθαι. ἐξισοῦσθαι.
Αμιαντως. καθαρῶς. ἀδόλως.
Αμπελος. σημαίνει τὸ κλῆμα. τὸν οἶνον. τὴν βοτάνην.
καὶ κατ᾽ ἀναγωγὴν τὸν Χν.
Αμπελος. ἀμπελῶνος διαφέρει. ἄμπελος τὰ ὀλίγα καὶ σπάνια
κλήματα. ἀμπελὼν δὲ ὁ περικλείων πολλὰς ἀμπέλους
Αμπυξ. ἀνάδεσμος τριχῶν ἀπὸ τοῦ εἰς τὰ ἄνω πεπυκνῶσθαι
καὶ τοιοῦτός τις κόσμος ἢ χαλινός.
Αμπελόνη. ἀντιπεριβολῆς. ἱματίου. τουτέστι παλλίου.
Αμπεπαλών. διασείσας. κινήσας.
Αμπλάκημα. ἁμάρτημα. ἀποπλάνημα.
Αμπότης. ξηρασία. ἀνάδοσις. ὅπου ἀναδίδει. καὶ πάλιν ἐπα
νέρχεται τὸ ὕδωρ. τοῦτο δὲ γίνεται κατὰ τὴν Βρετανίαν
Αμπεχόνιον. τὸ μικρὸν ἱμάτιον. ἢ τὸ λεπτόν.

Ἀμπεχόμενος. περιβαλλόμενος. σκεπόμενος. ἢ καλυπτόμενος

Ἀμπεχόνη. οὕτως καλεῖται πᾶν ἱμάτιον.

Ἀμυδρῶς. ἀσαφῶς. λεπτῶς. κρυφῶς. σκοτινῶς.

Ἀμύξει. ξέσει.

Αμυσι. ἡ πόσις. εν η ουδεις αναπνεει ἀπὸ τοῦ μὴ μύειν.

Ἀμύμων. ὁ ἄψογος.

Ἀμύμων. ἀγαθός. ἀμώμητος.

Ἀμυθήτου. ἀλέκτου. ἀδιηγήτου.

Ἀμυντήριον. ξίφος. ἢ βάκλον. ἢ ῥάβδος. ἢ ἀξίνη ἢ ἄλλο τι τῶν πληττόντων.

Ἀμυχή. ἐπιπόλεων ἕλκος. τουτέστι τὸ ἐπάνω.

Ἀμυδρότερον. σκοτεινότερον.

Ἀμύσσοντα. ξαίνοντα. σπαράσσοντα.

Ἄμερος. θάνατος. τυφλός.

Ἀμόωλον. ἅγιον. εἰλικρινές.

Ἀμυδρὸς. ὁ πεπυρακτόμενος σίδηρος.

Ἀμύναι. ἀποστρέψαι καὶ ἀλεξῆσαι. βοηθῆσαι. σημαίνει καὶ τὸ τιμωρίσασθαι.

Ἀμύξεις. σπαράξεις.

Ἀμύσσω. τὸ ξέω τοῖς ὄνυξι.

Ἄμυξις. κατάνυξις.

Ἀμώδης. ἄϋπνος.

Ἀμύνου. ἀνταποδίδου. ἢ ὕβριζε.

Ἀμύντωρ. βοηθός.

Ἀμυδροῖς. ἀσάφεσι. σκοτινοῖς.

Αμύλκας. λακεδαίμων.

Αμύητος. ὁ μὴ μετάσχων μυστηρίων.
Αμύητοι. ἄπειροι.
Αμυδὶς. ἐξαίφνης. ὁμοῦ. ἀπὸ ἅμα.
Αμφίβληστρον. διὰ τὸ ἀμφιβάλλεσθαι. σημαίνει δὲ τὸ δίκτυον.
Αμφιέννυται. σημαίνει τὸ ἐπενδύεται.
Αμφιέσαι. ἐν Δ.
Αμφιρεφέα. τὸν κατάσκιον.
Αμφιλύκη. νὺξ. σκοτεινή.
Αμφικύπελλον. τὸ περιφερὲς καὶ περιαγὲς τοιοῦτον δὲ τὸ ποτήριον.
Αμφίριστον. ἀμφίλογον. ἀμφίβολον.
Αμφίκρημνον. ἀμφοτέρωθεν ἐπικίνδυνον.
Αμφοῖν. τῶν δύο ἢ τοῖς δυσί.
Αμφοδα. ῥῦμαι.
Αμφὶ. περί.
Αμφιλαφὲς. μέγα. δαψιλὲς. κατάσκιον.
Αμφαυτοὺς. περί αὐτοὺς.
Αμφιτάπησι. τάπησιν ἤγουν ἐπευχία.
Αμφισβητεῖν. ἀμφιβάλλειν. ζητεῖν. διαστάζειν. σημαίνει τὴν φιλονεικίαν.
Αμφεπονεῖτο. ἔσπευδε.
Αμφιον. ἔνδυμα.
Αμφιρύτη. περιρεομένη κύκλῳ.
Αμφορεὺς. τὸ ἑκατέρωθεν δίωτον σαμνίον ξέστων κΔ. ἢ ἀσκίον.

Ἀμφίβιον. ἐν γῇ καὶ ὕδατι ζεῖν δυνάμενον.
Ἄμφω. ἀμφότεροι ἢ ἀμφότερα.
Ἀμφίπολις. δούλη. θεράπαινα.
Ἀμφηκὲς ξίφος. τὸ ἀμφοτέρων τῶν μερῶν ἠκονημένον ξίφος.
Ἀμφιρεφὴς. ἀμφοτέρωθεν ἐσκεπασμένον καὶ συνεπασμένον κα-
ταστιον.
Ἀμφοτέρωθεν. ἐκ τῶν δύο μερῶν.
Ἀμφιρεκοῖς. ἐπισκόποις.
Ἀμφίζανε. περιεκαθέζετο.
Ἀμφώμοισιν. ἀμφοτέροις τοῖς ὤμοις.
Ἀμφίσχουσιν. ἐνδύουσιν.
Ἀμφιτρίτη. σημαίνει δὲ τὴν θάλασσαν.
Ἀμφιμάστωρος. ἄμφω τοὺς γονεῖς ἔχοντος.
Ἀμφαλον. περὶ τὴν θάλασσαν.
Ἀμφιθι. ἤθη.
Ἀμφόβων. ὄνων.
Ἀμφασία. ἀλογία.
Ἄμφω μὲν ἤστην. ἀμφότεροι μὲν ὑπῆρχον.
Ἀμφιαχυῖα. ὀδυρομένη περὶ τῶν τέκνων.
Ἀμφιγνοεῖ. ἀμφιβάλλει.
Ἀμφιδέας. ψέλλια.
Ἀμῶ. θερίζω.
Ἀμώμητον. ἄψεκτον.
Ἀμωσγέπως. ὅπως δήποτε κατά τινα τρόπον.

Ἄμωμος. καθαρὸς. ἄμεμπτος.
Ἄναξ. βασιλεύς.
Ἀνὰ. ἀντὶ τοῦ πάλιν λαμβάνεται.
Ἀναβίωσις. ἄνωθεν βίος. ἤγουν ζωῆς.
Ἀνάβλησις. ἀναβολὴ καὶ ὑπέρθεσις.
Ἀναλογία. δηλοῖ τὸ ἀκόλουθον. τὸ κατὰ λόγον.
Ἀνὰ. κατὰ. περὶ.
Ἀναιδῆ. ἀναίσχυντο.
Ἀνάγνωσις. ἄνω γνῶσις. ἤγουν περὶ θυμὸν γινώσκουσα
γνῶσις ἢ πάλιν γνῶσις.
Ἀναλόγως. ἴσως. ὁμοίως.
Ἀναλογία. κανών. μέτρον. ἰσότης.
Ἀναίδεια. ἀναισχυντία
Ἀνάγραπτον. φανερῶς γεγραμμένον.
Ἀνάθημα. ἀναθέματι διαφέρει. ἀνάθημα μὲν γάρ ἐστιν τὸ
διὰ τοῦ η γραφόμενον τὸ ἀνιερωμένον τε καὶ ἀνα-
τιθέμενον ἱερῷ τινι τόπῳ. ἀνάθεμα δὲ τὸ διὰ τοῦ ε ἐκ-
φαινόμενον. τὸ ὕβρεως ἐχόμενον καὶ ἀναθεμα-
τισμοῦ.
Ἀνάθεμα. τὸ ὥσπερ ἐν στήλῃ ἀνατίθεσθαι.
Ἀναθήματα. κειμήλια. ἀγάλματα καὶ τὰ τῷ θεῷ
παρατιθέμενα.
Ἀναφίριστον. ἀναμφίβολον.
Ἀναρρηθῆναι. ἀνακηρυχθῆναι. τοῦτο δὲ τοῖς νικῶσιν
ἐπὶ τοῦ δήμου γένετο.

Αναλλοίωτον. ἄτρεπτον. μὴ ἀλλοιούμενον.
Αναφέρετον. μὴ ἀφαιρούμενον ἀμετάβλητον.
Ανακραθέντες. ὁλοψύχως. κολλόμενοι.
Ανανήξασθαι. ἀνακολυμβῆσαι.
Ανάπαυλαν. ἀνάπαυσιν.
Ανασφήλας. ἀνανήψας ἑαυτὸν ἀναστήσας.. ἢ ἀναλαβὼν
Αναδειμᾶσθαι. ἀνοικοδομῆσαι.
Αναντες. ἄνω φέρων. ὡς καὶ κάταντες. κάτω φέρων.
Αναφής. Αψηλάφητος. οὗ ἀφὴ μὴ προσάπτει.
Αναλῶ. τὸ δαπανῶ.
Ανάλωτον. ἄληπτον.
Ανακάθαρσις. διάνοιξις. διασάφησις.
Αμφιλαφές. τὸ δασύ. ἀμφιλαβές τι τὸ ἑκατέρωθεν ληπτόν.
Αναμίξ. ἀναμεμιγμένως.
Αναζεύξασθαι. ἀναστρατοπεδεύσας. ὑποστρέψας.
Αναφανδόν. φανερῶς.
Αναλαβές. ἀσθενές. ἀδύναμον.
Ανασειράζων. ἀνακρούων. ἀνακόπτων.
Αναπετάσομεν. ἁπλόσομεν.
Ανανεῶσαι. ἀνεγεῖραι. ζωῶσαι.
Αναθρώσκει. ἀνπηδᾶ.
Ανακτόρων. ναῶν ἱερῶν, ἢ οἴκων βασιλέων.
Αναίνομαι. ἀρνοῦμαι.
Αναποδράστους. ἀφεύκτους. μὴ δυναμένους φυγεῖν
Αναίρεται. ἀρνεῖται. παραιτεῖται.

Ἀναχωχῆς. ἀναπαύσεως. ἐνδόσεως.
Ἀναστοιχειοῖ. ἀναπλάττει. ὡς καὶ μεταστοιχειοῖ. μεταπλάττει.
Ἀναφοιτῆσαι. ἀνελθεῖν.
Ἄνακτα. βασιλέα.
Ἀναβιβάζων. ἀναφέρων. ὕψων.
Ἀνάρτησιν. ἀνακρέμασιν.
Ἀνατλῆναι. ὑπομεῖναι.
Ἀναδείσονται. στέφονται.
Ἀνακομιδή. ἀναγωγή. ἐπάνοδος.
Ἀνάπτειν. ἀναπέμπειν. περιτιθέναι. προσάγειν. λέγεται
δὲ καὶ ἐπὶ τῶν τὸ πῦρ ἐκφυσόντων.
Ἀναπηγάζει. ἀνομβρεῖ. ἀναδίδωσι.
Ἄντυξ. περιφέρει τοῦ ἅρματος.
Ἀνακράτως. παντελῶς.
Ἀναγαγότερον. ἁμαρτικότερον.
Ἀναμφιβάλλοντα. ἀμφιβάλλοντα. ὑπερτιθέμενον.
Ἄναυδος. ἄφωνος.
Ἀναπτήτω. ἀναπετασθήτω.
Ἀναβολή. ὑπέρθεσις.
Ἀναβάτης. ἐπιβάτης. καθημένος ἵππῳ.
Ἀναζωπυρῆσαι. ἀνακτίζειν.
Ἀναθεματισμός. ἀφανισμός.
Ἀναπολῶ. μνημονεύω.
Ἀναβήσεται. ἀναπεθήσεται.
Ἄναλκις. ὁ ἀδύνατος. ἐκ τοῦ ἀνεύω. τοῦτο δὲ διὰ τὸ ἀνανεύειν.

Ἀνάργυρος. ὁ ἄμισθος.
Ἀναργύρως. ἀμίσθως.
Ἀναρριχόμενοι. ἀναλαμβανόμενοι. πρὸς ὕψος ποσὶν ἢ χερσὶν ἐπὶ τοῖχον ἢ δένδρον.
Ἀνασῆναι. ἐγρηγορόται. ἐγερθῆναι ἐξ ὕπνου.
Ἀνάσα. ῥῆμα προσακτικὸν καὶ ἐπίῤῥημα παρακλήσεως.
Ἀνάῤῥυσις. ἡ τῶν αἰχμαλώτων ἐλευθερία.
Ἀνάρτησις. ἀνακρέμασις.
Ἀναδαίσασθαι. ἀναμερίσασθαι.
Ἀνήπυσα. ἀνήχοα.
Ἀναῤῥιπίζησαι. ταράξαι. κινῆσαι. ἀντεγεῖραι.
Ἀνάρσιοι. πολέμιοι. ἀνάρμοσοι. καὶ ἀσύμφονοι.
Ἀναφορεῖς. οἱ ἀνέχοντες. οἱ ἀναβαστάζοντες.
Ἀναζυγή. ἀναστροφή. στρατοπαιδεία.
Ἀνάρσιος. ἐχθρός.
Ἀναπεποιημένης. ἀναπεφυραμένης. ἀναζυμοθείσης.
Ἀναξιρίδες. φιμιλάνια. βραχία ἢ τὰ βαθέα καὶ ἄβατα ὑποδήματα. οἷον ἀνασιρίδες. παρὰ ἀνασύρεσθαι τροπῇ τοῦ σ εἰς τὸ ξ.
Ἀνάπαλιν. ἐκ τοῦ ἐναντίου πάλιν.
Ἀνατέταλκεν. ἀνέτειλεν.
Ἀνατιναγμός. μετάστασις. μετακίνησις.
Ἀνακεφαλαιοῦται. ἀναπληροῖ. ἀνακτίζει.
Ἀναγώγῳ. ἐκλελυμένῳ. φιληδόνῳ.
Ἀνασκινδοῖ. ἀνασκοπελάζει.

Ἀναντιῤῥήτως. ἐκτὸς πάσης ἀντιλογίας.
Ἀντολίην. ἀνατολήν.
Ἀνάκτωρ. θεὸς. βασιλεύς.
Ἀναλογία. ὁμοιότης. ἐπιτηδειότης.
Ἀναχόμενος. πειθόμενος. ἐπακούων.
Ἀναιμοτὶ. ἄνευ αἵματος.
Ἀναπλέω. πλήρις. γέμως.
Ἀναφορὰ. δέησις. παράκλησις.
Ἀνάλογος. ὁ λόγου ἐχόμενος. ὁ ἐστὶ κατὰ λόγου ὅμοιος.
Ἀναίδην. ἀναισχύντως.
Ἀνατεῖλαι. ἀνθῆσαι. ἐκ μεταφορᾶς τῶν βοτανῶν.
Ἀναλόγως. ἴσως.
Ἀναψυχὴν. ἀνάπαυσιν. παραμυθίαν.
Ἄνατλον. ἀνυπομόνητον.
Ἀνάλημμα. ὕψωμα. στήριγμα.
Ἀναστροφὴ. πολιτεία. διαγωγή.
Ἀνάχυσιν. βλακίαν. ἔκλυσιν.
Ἀνάπασαν. κατὰ πᾶσαν.
Ἀνανταγώνιστον. ἀήττητον. ἀνίκητον. καταγωνίζεσθαι
γὰρ τὸ νικᾶν.
Ἀνατέξασθαι. ἀναγράψασθαι. συντάξαι.
Ἀνάσσεις. βασιλεύεις.
Ἀναίδην. ἀθρόως. σφοδρῶς. ἀπηρυθριασμένως.
Ἀνὰ μέρος. κατὰ μέρος. ἐν μέρει.

Ανανθρα. ἀτύπωτα. ἀτράνωτα. λαμβάνεται δὲ ἐπὶ συλλα-
βῆς. λειπούσης στοιχεῖον. ἢ λόγου ὑστεροῦντος.
Ανασκαλεύων. ἀνακινῶν. ἀδημονῶν. ἀναλογιζόμενος. λέ-
γεται δὲ καὶ ἐπὶ τῶν τὴν γῆν μεταλλευόντων.
Αναπλέως. μεστὸς.
Ανὰ χεῖρα. παρὰ τὴν χεῖρα.
Αναχετίζει. ἀναποδίζει. ἐκκόπτει.
Αναχωχεύειν. τὸ ἐν πελάγει χειμῶνος ὄντος. στείλαντας.
τὰ ὀθόνια σαλεύειν.
Αναβλυστάνων. ἀναπηγάζων.
Αναπεσπάμεν. ἔκφυλοι. ἡπλόμενοι. ξένοι.
Ανάπτυξις. διασάφησις.
Αναντος. ὁ ἀηδὴς. ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας.
Ανδηρα. τὰ χείλη τοῦ ποτηρίου.
Ανδράποδον. ὁ φυγὰς δοῦλος.
Ανδρία. ῥώμης διαφέρει. ἀνδρεία μὲν γάρ ἐστιν ἰσχὺς ψυχῆς.
ῥώμη δὲ σώματος.
Ανείδεον. ἀπρεπές.
Ανεσσα. δέσποινα.
Αδανον. ἀρέσκον.
Αδάνουσα. ἀρέσκουσα.
Ανδροκτασίαις. ἀνδροφονίαις.
Ανδρείας. ὁμοίωμα ἀνδρὸς ἢ ἀνθρώπου.
Ανδρὶ. εἴκελον. ἀνδρὶ ὅμοιον.

Ἀνδρεῖοις. ῥωμάλεος. γενναῖος.
Ἀνδρειφόντις. ἀνδροφόνος.
Ἀνδῖχα. διχῶς.
Ἀνδραγαθία. καλοκαγαθία. ἔπαινος.
Ἀνδρογύνων. ἀδυνάτων. καρδίας γυναικῶν ἐχόντων.
Ἀνδρόκμητος. ἀπὸ τοῦ καμεῖν. ὅ ἐστιν ἀποθανεῖν.
Ἀνδρομαίου. ἀνθρωπίνου.
Ἀνδραποδώδεις. δουλοπρεπῶς. δουλογνώμων.
Ἀνδρῶνα. οἶκος ἐν ᾧ οἱ ἄνδρες εἰώθασι συναθροίζεσθαι.
Ἀνδραγχος. δήμιος τοὺς ἄνδρας ἄγχων. ἤγουν πνίγων.
Ἀνενέργητος. μὴ ἐργασθεὶς. ἤτουν μὴ ἐλθὼν εἰς ἐργείαν.
Ἀνέδην. ἐπίρρημα. ἀθρόως.
Ἀνερρώσθημεν. ἀνελαβόμεθα. ἐξ ἀρχῆς ἐρρωμένοι γεγόνα=
μεν.
Ἀνέκαθεν. μακρόθεν. ἤτοι ἐκ πολλοῦ χρόνου. ἢ ἀπαρ„
χῆς. ἕκας γάρ ἐστι τὰ μακρά.
Ἀνεκτότερον. ἐλαφρότερον. ἡμερότερον.
Ἀνεσκολοπισμένον. ἀνεσρωμένον: σκόλοπες γὰρ τὰ ὄρ„
θὰ ξύλα.
Ἀνενδιάστως. ἀπὸ τοῦ ἐνδοιάζω τοῦ σημαίνοντος τὸ
ἀμφιβάλλω καὶ δοκῶ. γράφεται δὲ διὰ τῆς οι
διφθόγγου. πρὸς ἀντιδιαστολὴν τοῦ συνδιάζω.
ὃ σημαίνει τὸ συναυλίζομαι. καὶ οὐ μὴ συνδιάσω
με. τουτέστι οὐ μὴ συναυλιασθῶ. ἀνενδιάστως οὖν
ἐστιν ἀντὶ τοῦ ἀδιστάκτως. ἀναμφιβόλως.

Ἀνεχαίτισεν. ἀνεκρούσατο. ἠπείθησεν. ἢ εἰς τοὐπίσω ἤγαγεν.
Ἀνδράποδον. δοῦλον.
Ἀνέπαφον. ἀθιγὲς μὴ ψηλαφηθὲν ἢ ψηλαφηθῆναι μὴ δυνάμενον.
Ἀνδρειοφόντης. ὁ ἄρης. ὁ τοὺς ἄνδρας φονεύων.
Ἀνεκπόμπευτον. ἀδημοσίευτον.
Ἀνεπιστάτητον. ἀφύλακτον.
Ἀνεπίδεκτον. ὅλως μὴ ἐπιδεχόμενος.
Ἀνέστιοι. ἄοικοι. ἑστία γὰρ λέγεται καὶ ἡ οἰκία.
Ἀνεβίω. ἀνέστη. ἀνέζησεν.
Ἀνειμένον. ἀπολελυμένον. ἀκράτητον.
Ἀνέφικτον. ἀκατάληπτον.
Ἀνεδείματο. ἀνῳκοδόμησεν. ἀνήγειρεν.
Ἀνεπίληπτος. ἀνέγκλητος.
Ἀνεπίπληκτον. ἀνεπίμικτον.
Ἀνέφη. ἀνέτειλεν. ἀνῆλθεν.
Ἄνεισιν. ἀνέρχεται. ὡς καὶ κάτεισι κατέρχεται.
Ἀνεμέσητον. ἄμεμπτον.
Ἀνέρες. ἄνδρες ἀττικῶς.
Ἀνεπόδισεν. ἀνέκαμψεν. ἀνέλυσεν.
Ἀνεστάλη. ἐστάλθη. μετεκινήθη.
Ἀνεγκλήτους. ἀπράγμους. ἀνευθύνους.
Ἀνευθέτου. ἀχρήστου.
Ἀνεῖργεν. ἀνεκώλυσεν.
Ἀνερμάτιστος. ἄοπλος. ἀπαράσκευος.
Ἀνεκαλαμήσατο. ἀνεθέρισε.
Ἀνελευθέρως. τὸ ἐκτὸς τῆς ἀληθείας ποιεῖν τι.

Ανεῖλεν. ἐφόνευεν.
Ανῄειν. ἀνῆλθον.
Ανεξικακία. ἡ ἀνοχὴ τοῦ κακοῦ.
Ανήβω. αὐξάνω. νεάζω.
Ανὴρ. ἀνθρώπου διαφέρει. ἀνὴρ μὲν γὰρ κυρίως λέγεται ὁ ἐπ᾽ ἀρετῇ τινὶ διαπρέπων. ἄνθρωπος δὲ ὁ ἐπὶ μηδενὶ διαπρέπον καὶ εἰς τὸν φίλον.
Ανέσπερον. ἀσκότιστον.
Ανεὶς. ἀφεὶς.
Ανες. ἄφες.
Ανεξιχνίαστα. ἀκατάληπτα
Ανεξέλεγκτος. ἀβασάνιστος. ἀγύμναστος.
Ανεκοινωσάμην. ἀνεθέμην
Ανερείψαντο. ἐἱρπάσασαν.
Ανευ. ἐκτὸς. χωρίς.
Ανεῖται. ἀπολεῖται
Ανέχομαι. καταφρονῶ.
Ανενέγκαι. ἀνανίψαι
Ανεψιὸς. ὁ νῦν καλούμενος ἐξάδελφος. παρὰ τὸ ἀνῆφθαι εἰς συγγένειαν. ἢ παρὰ τὸ ἔπω ἕψω. ὁ ἄνωθεν ἑψόμενος. ἤγουν ἑπόμενος.
Ανεζώγνυσαν. ὤδευον.
Ανεσίμου. Ανήλισκεν. κατεδαπάνα.
Ανελῶ. φονεύσω.
Ανείφθει. ἀφέθει.

Ανεπάλεσα. ἀνεμνήσθην. ἀνελογήσαμεν.
Ανεπίφθονον. ἀμίσητον. μὴ φθονόμενον.
Ανεςμοι. συγχώρησόν μοι. ἔνδος μοι.
Ανατέτραπτον. ἀνατροπὴν ἔπαθεν.
Ανέφηναν. ἀνέδειξαν.
Ανηλίων. μὴ ἐχουσῶν ἥλιον. σκοτεινόν.
Ανήνυτον. τὸ μὴ ἀνυόμενον.
Ανηβος. ὁ μήπω τὴν ἡλικίαν ἐπιφθάσας. ἥβη ἡ νεότης.
Ανήσω. ἀφήσω.
Ανηρτῆσθαι. ἐκκεκρεμᾶσθαι.
Ανῆκεν. εἴασεν. ἀπέλυσεν. ἐνέδωκεν.
Ανίκεςαι. ἀνίατα.
Ανθραξ. ὁ λίθος. καὶ τὸ πεπυρωμένον καρβόνιον.
Ανίνεσθαι. παραιτεῖσθαι. ἀρνεῖσθαι.
Ανήνυτον. ἀνωφελές.
Ανῆκα. ἀφῆκα. παρεχώρησα.
Ανήπυςον. ἀνήκοον.
Ανήρετο. ἠρώτησε.
Ανιλέως. ἀσπλάγχνως.
Ανηθον καὶ Ανησον. καλαμίνθα καὶ ἡμίνθα.
Ανειμένος. ἀπολελυμένος. καὶ χαυνομένος. ἀκράτητος.
Ανηγγέλλει. ἀπηγγέλλει. ἐρέθη.
Ανηρήμην. ἐφονεύθην.

Ανήρωτον. μὴ ἠρωτριασμένον.
Ανήνορα. ἄνανδρον.
Ανήρεις. ἀνάνδρους.
Ανθείλαντο. προέκρινεν. ἀντὶ τούτων ἄλλους ἐπιλέξαντο.
Ανεις. ἀφιείς.
Ανθερεῶνος. τοῦ φάρυγγος.
Ανθηρημένοις. προκρίνουσιν.
Ανθ᾽ ὅτου δὲ δή. ἀνθ᾽ ὅυτινος δή.
Ανθερέων. ὁ ὑπὸ τὸ γένειον τόπος.
Ανθοποιῶν. ἄνθη ἐκφερομένων.
Ανειμένων. ἀνεωγμένων.
Ανημμένος. ἀναδεδειγμένος.
Ανηρέτην. λυτρωτήν.
Ανήσασθαι. ἀρνήσασθαι.
Ανθέριχες. τῶν σταχύων αἱ προβολαὶ ἀντὶ τῶν τριχῶν.
Ανθοσμίας. ἡδὺς οἶνος εὔπνοος.
Ανθινὸν. ἀνθηρὸν. βαπτὸν.
Ανθέλκει. ἀντιπισπᾶται.
Ανθέμιον. τὸ ἐκλεκτὸν χρυσίον.
Ανθότου. ἀντὶ τίνος.
Ανθυποφορά. ἀνταπόκρισις.
Ανείησιν. ἐᾷ. ἀπολύει. ἀναπαύει.
Ανίση. ἀνήγειρε.
Ανιαρὸν. λυπηρὸν. ἀνία γὰρ ἡ λύπη.

Ἀνίσχει. ἀνατέλλει. ἀναδύει.

Ἀνοχὴ. ὑπομονή. συγχώρησις. μακροθυμία. παρὰ τὸ ἀνέχειν ἢ ἀνέχεσθαι.

Ἀνοσιουργία. ἀσέβεια. τὸ ἄνευ ὁσίου ἔργον.

Ἀνίερον. αἰσχρὸν. βέβηλον. μεμιασμένον.

Ἀνιερώσαντες. ἀναθέντες.

Ἀνίας. λύπας.

Ἀνιόντων. ὀδυνόντων. λυπούντων.

Ἀνιμᾶσθαι. ἀντλεῖν. πιπίζειν. ἀνασπᾶν.

Ἄνιθι. ἄνελθε. ὡς καὶ κάτιθι κάτελθε.

Ἄνιπτον. ἀκάθαρτον. φαῦλον. δυσῶδες.

Ἀνιχνεύων. ζητῶν τὰ ἴχνη ἢ διὰ τῶν ἰχνῶν.

Ἀνιῶμαι. δάκνομαι. λυποῦμαι.

Ἀνιπτάμενος. πετόμενος.

Ἀνίημι. συγχωρῶ.

Ἀνοιμώζων. ἀναστενάζων.

Ἀνόλεθρον. ἀθάνατον. ὄλεθρος γὰρ ὁ θάνατος.

Ἀντίλυτρον. ἀντίδοτον.

Ἀντίρροπον. ἀντίσταθμον.

Ἀνισάμεναι. αἰχμαλωτιζόμεναι.

Ἀνούστατος. ἀσύνετος. μωρός.

Ἀντωπεῖν. ἀντιβλέπειν. ἀντοφθαλμεῖν.

Ἀνόθευτον. γνήσιον. ἀπαραποίητον.

Ἀνήσω. ἀναφέρω. ἀνενέγκω. ἀναβιβάσω.

Ἀνοργύαστας. ἀμυησίας. ὄργυια γὰρ τὰ μυστήρια.
Ἀντιλαβοῦ τό σου. ὑμαρμαχήσει σοι.
Ἀντιποιοῦμαι. σημαίνει τὸ φροντίζω. καὶ προνοοῦμαι. καὶ
ἐπιμελῶ.
Ἀντιόχεια. κατὰ παρώνυμον παραγωγὴν γέγονεν ἀπὸ
τῆς γενικῆς τοῦ ἀρσενικοῦ τοῦ ἀντιόχου.
Ἀντίπαλος. ὁ ἐναντίων. ἢ ὁ ἀντιπαλαίων. ἢ ὁ κατὰ πάλον
τουτέστι κλῆρον ἐναντιούμενος.
Ἀντιφέρεται. ἐναντιοῦται.
Ἀντωπῆσαι. κατοφθαλμῆσαι.
Ἀντ᾽ ἀνάκλασιν. κατ᾽ ἀνάκλησιν ἀπό τινος μεταγομέ-
νην. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς. ὅταν ἀντηχεῖ. καὶ
ἐπὶ φωτὸς ὅταν φωτεινῷ. ἢ λαμπρῷ ὕδατι προσπέ-
σοιεν.
Ἀντιφέρεται. ἐναντιοῦται.
Ἀντυπία. ἐναντίωσις. σκληρότης. λαμβάνεται δὲ καὶ
ἐπὶ ὁμοιότητος.
Ἀντικρὺ. κατέναντι. ἐξ ἐναντίας.
Ἀντικρυς. φανερῶς.
Ἀντιβολῶ. δέομαι. παρακαλῶ.
Ἀντιπαρεξάγειν. ἀντιτάσσειν. ἐξ ἐναντίας παρατάσσεσθαι.
Ἀντέχεται. ἀντιλαμβάνεται. προΐσταται.
Ἀντιδιαστέλλεται. ἀντιδιΐσταται.

Αντεπίει. ἀντεπήρχετο.
Αντέκτησις. ἀνταπόδωσις
Αντιτορήσας. διατρίσας. διορύξας.
Αντερεῖ. ἀντιλέγει.
Αντρανυχία. σκοτεινὰ σπήλαια.
Αντιάνειρα. ἡ ἴση ἀνδρὶ κατὰ δύναμιν
Αντίχειρ. ὁ μέγας τῆς χειρὸς δάκτυλος. ὅτι ἀντίκειται τοῖς ἄλλοις. ἢ ὅτι ἴσον δύναται τῇ ὅλῃ χειρί.
Αντηγέση. αἱ ἄνω τεταγμέναι περικεφαλαῖαι. καὶ γὰρ ἡ εἰς τὸ κάτω τεταγμένη κάπετυξ καλεῖται.
Αντίγονον. ἀκακίαν.
Αντύγεσι. καμάραις.
Αντυξ. ἡ ἀψὶς ἀπὸ τοῦ ἄνω τετύχθαι. καὶ ἡ περιφέρεια. τοῦ ἅρματος.
Αντιστροφή ἐστιν. οἷον λέγομεν ὅτι οὐδεὶς ἄνθρωπος ἀγαθός. καὶ ἀντιστρέφομεν. ἀγαθὸς ἄνθρωπος οὐδείς.
Ανταναιρεθῇ. ἀφανισθεῖ.
Αντώνιος. ἄνθος ὠνήσεως. ἢ ἀντὶ ὠφελείας.
Αντηνέχθη. ἐναντιώθη.
Αντικαταστῇ. ἐξ ἐναντίας στάιει.
Αντιπράττει. ἐναντιοῦται.
Αντάμειψιν. ἀνταπόδοσιν.
Αντοίσομεν. ἀντιπροσενέγκομεν.
Αντίθεος. ὁ τῷ θεῷ ἀντιπράττων. ἰσόθεος.

Ἀντιπίπτει. ἐναντιοῦται.
Ἀνῶ. ἄσω.
Ἀνυπόκριτον. ἄδολον
Ἀνωγέων. ἐκ τοῦ ἄνω καὶ τῦ γέα τὸ ἄνω ὂν τῆς γῆς.
Ἀνύποιστον. ἀφόρητον. ὃ οὐδεὶς δύναται ὑπενεγκεῖν ἢ ὑποφέρειν.
Ἄνωγεν. ἐκέλευσεν.
Ἀνώγω. κελεύω.
Ἀνυπόστατος. ἀνυπάρκτος. ὁ μηδὲν ὤν. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀφορήτων. ἃ οὐδεὶς δύναται ὑποστῆναι.
Ἀνυποστόλως. Ἀνυπόπτως. ἀφόβως.
Ἀνύπουλος. ἀνυπόκριτος.
Ἀνύω. σημαίνει τὸ πράττω τὸ τελειῶ. καὶ τὸ ὀδεύω. τὸ ὠφελῶ. καὶ τὸ κατορθῶ.
Ἀνῳκισμένος. ἄνω οἰκῶν ἢ μακράν.
Ἀνώνητον. ἀνωφελές.
Ἄξαντες. συντρίψαντες.
Ἀξιάγαστος. ἀξιοθαύμαστος. ἄγασθαι γὰρ τὸ θαυμάζειν
Ἀξιέραστος. ἀξιεπιθύμητος. ἄξιος τοῦ ἐρᾶσθαι.
Ἀξιοχρέως. ἱκανῶς. ἢ ἀξιόπιστος.
Ἀξιῶ. τὸ παρακαλῶ. καὶ ἀξιῶ τὸ τιμῶ καὶ δοξάζω. καὶ ἀξιῶ ἰσῶ καὶ εὐτρεπῶ καὶ τὸ ἐπιτυγχάνω.
Ἀντωβουμένη. ἀνθελκομένη. βαρουμένη.
Ἀντιτυπεῖς. σκληροί.

Ἄντλημα. ἀντλητύριον. ὕδατος πλήρης.
Ἀξιεπαινέστατος. ἄξιος ἐπαίνου.
Ἀξιομνημόνευτος. ἄξιος μνήμης.
Ἀξιόληπτος. ἐπαινετός.
Ἀξύλω. πολυξύλω.
Ἄξω. ἐνέγκω. ἀνάγω.
Ἀοιδὸς. ποιητής.
Ἀοιδῆς. ᾠδῆς.
Ἀοιδῶς. θρηνῳδῶς.
Ἀοίδιμος. ὀνομαστὸς. ἀείμνηστος. μακάριος. περιβόητος.
Ἀοιδοὺς. κιθαρῳδούς. λέγεται δὲ καὶ ἐπὶ τῶν εὐνούχων διὰ
τὸ μὴ ἔχειν αἰδοῖα.
Ἀόλλεες. συνηθροισμένοι.
Ἀολλη ποιεῖ. ἀνάλωτον συνηθροισμένον.
Ἀολλήσασα. συναθροίσασα.
Ἀοίδιμος. ὁ ᾠδῆς ἄξιος.
Ἄορι. ξίφει.
Ἄορ. ξίφος.
Ἀορίστως. ἀπολύτως. μὴ διαστελλομένως
Ἄορες. γυναῖκες.
Ἀόχθιον. ἔμπιον.
Ἀπαμειβόμενος. ἀποκρινόμενος
Ἅπας. πᾶς.
Ἀπαυτομολήσει. φεύξεται. αὐτομολῆσαι δέ ἐστι τὸ ἀφ'
ἑαυτοῦ ἐλθεῖν.

Ἅπαξ. ἐπίῤῥημα ἀριθμητικόν.
Ἀροτὴρ. καὶ σφαιρωτὴρ. καὶ ἱμὰς. καὶ κεσὸς. καὶ μάθλης. ἔνεισιν.
Ἀοσσωτὴρ. βοηθός.
Ἀπαρτία. ὁ κατὰ τὸν οἶκον κόσμος. τὰ λεγόμενα ἔπιπλα.
Ἀπαργμάτων. τῶν τελείων θυσιῶν.
Ἀπάτη. ἡ πλάνη.
Ἀπάδει. ἐναντιοῦται. οὐ συμφωνεῖ.
Ἀπόβλητος. ἀσύγκριτος. ἀνόμοιος.
Ἀπαυταδιάζοντας. μεγαλοφρονοῦντας. σκληρυνομένους.
Ἀπαιδοτρίβητοι. ἀγύμνασοι.
Ἀπαραποδίστως. ἀνεμποδίστως.
Ἄπαγε. παῦσαι. ἢ ἀναχώρει.
Ἀπᾶδον. ἀπρεπές.
Ἀπαχθῆναι. ἀπενεχθῆναι.
Ἀπαίσιον. βλάσφημον.
Ἀπαμφιάσαντες. γυμνάσαντες. ἀποδύσαντες.
Ἀπαρεμφάτως. ἄνευ δηλώσεως προσώπου.
Ἀπατραχουσης. ἃ παρὰ τοῦ πατρὸς ἤκουσε.
Ἀπαμφιάσαι. γυμνῶσαι.
Ἀπαγορεύει. ἀποφάσκει. ἀπολέγει.
Ἀπαύδω. ἀπαγορεύω. ἀπολέγομαι.
Ἀπαιωρούμενον. κρεμάμενον.
Ἀπαρτίαν. ἀπασκεύειν, τέλος.
Ἀπαναίνομαι. σημαίνει τὸ ἀρνεῖσθαι.

Απαρχῆσαι. καταπαῦσαι.
Απαύγασμα. ἀκτὶς ἡλίου. ἢ πρώτη τοῦ ἡλιακοῦ φωτὸς
προσβολή.
Απαυθαδιάζεται. ὑπερηφανεύεται ἀναστρέφεται ἢ μεγαλο-
φρονεῖ περὶ αὐτοῦ.
Απαναίρου. ἀποστρέφου. παραιτοῦ.
Απαίρει. ἀποδημεῖ. ἀναχωρεῖ.
Απαρτίζει. τελειοῖ. πληροῖ.
Απανάστασις. ἀποικία. μετάστασις.
Απειλή. ἡ μετὰ ὀργῆς ἐπίπληξις.
Απλότης. μωρίας διαφέρει. ἁπλότης γάρ ἐστι φρόνησις
ἀπηλλαγμένη πανουργίας. καὶ οἷον ἁπλῆ τις οὖσα.
καὶ μὴ μεμιγμένη δυστροπία. μωρία δὲ ἠρεμία φρενῶν.
Απελος. τὸ ἕλκος καὶ τὸ τραῦμα.
Απαυθαδιάζω. ἐκ τοῦ αὐθάδης γίνεται ῥῆμα αὐθαδίζω.
καὶ πλεονασμῷ τοῦ α. τὸ δὲ αὐθάδης ἐκ τοῦ ἅδω
τὸ ἀρέσκω. καὶ τῆς αὐτὸς ἀντωνυμίας ὁ ἑαυτῷ
ἀρέσκων.
Απεμόρξατο. ἀπεδάκρισεν. ἢ ἀπένιψεν.
Απείρονα. πέρας μὴ ἔχουσαν μεγάλην.
Απαραίτητον. ἀπαραμύθητον. ὃ οὐδεὶς δύναται ἐκφυγεῖν.
Απάρχου. ἀρχὴν λάβε. ἢ ἀπαρχὰς πρόσφερε.
Απανηνάμενος. ἀπαρνησάμενος.
Απατᾷ. πλανᾷ. φαιναχίζει.

Απεφαίνοντα. ἀπεοικότα ἀνάρμοσα ἐκ τοῦ μὴ ἐμφαίνειν τὸ ὅμοιον.

Απέραντον. μέγαν. ἀτελεύτητον. ἐκ τοῦ πέρας μὴ ἔχον.

Απεμπολήσας. πεπρακὼς. ἀποκτησάμενος.

Απερίτρεπτον. τὸ μὴ περιτρεπόμενον.

Απερινόητον. ὅ οὐδεὶς δύναται νοῆσαι.

Απεξεσμένον. ἐκτετορνευμένον. γεγυμνασμένον. ἀπηκριβασμένον.

Απεῤῥάπισεν. ἀπεσόβησεν. ἀπεφήμωσεν ἀπεδίωξε.

Απωρῶ. τὸ κρεμῶ.

Απεμφαίνει. ἀπέοικεν.

Απερισάλπικτοι. ἀκατήχητοι. ἀνήκοοι.

Απέχθεια. μῖσος. ἔχθρα

Απεοικὼς. ἀνόμοιον.

Αποξενομένη. ἀλλοτρία.

Απεσχεδιάζετο. ἡτοιμάζετο.

Απεῖργον. ἐκώλυον.

Απεῖρξεν. ἐκώλυσεν.

Απώσατο. ἀπεσείσατο. ἀπέῤῥιψεν.

Αποκλήρωσις. ἡ οἰκειότης. καὶ σχέσις τοῦ πράγματος εἴρηται δὲ ἀποκλήρωσις. ἀπὸ τοῦ κλήρου ἐπὶ τῆς κληρονομίας ἐπὶ τοῦ μέτρου τῆς γῆς. ἐν ἀμφοτέροις γὰρ σχέσις ἐστὶ καὶ οἰκειότης. τοῖς κληρονόμοις καὶ κληρούχοις.

Απερίγραπτον. ἀπεριόριστον.

Απετίννυον. ἀπεδίδουν.

Απεκομίσθη. ἀπηνέχθη.

Απεισιν. ἀπέρχεται.

Αποσκορακισμός. ὕβρις. ἐξουδένωσις. εὐτελισμός.

Αποκλήροσιν. διανομὴν μερισίαν.

Απιλελυμμένων. ἀπολεφθέντων.

Απέδρα. ἀπέφυγε.

Απεσκοράκιζεν. ὕβριζεν. ἐξέρριπτεν. ἢ ἐχλεύαζεν. καὶ εἰς ἐρημίαν ἔπεμπεν.

Αποσκορακίζω. καταλιμπάνω.

Απλοῦν. τὸ μὴ ἐκ πλειόνων ἔχον ~~τὴν~~ τὴν σύστασιν.

Απλοῦς. ὁ πέλων εἷς.

Απινής. ὁ καθαρός.

Απηνής. ὁ σκληρός.

Απηλγηκότες. ἀποκαμόντες. ἀνελπίσαντες. ἀμεριμνήσαντες.

Απείρως. ἀγνώστως.

Απερισκέπτως. ἄνευ σκέψεως καὶ βουλῆς.

Ανεβίω. ἀπέθανεν. ὡς καὶ ἀνεβίω ἀνέζησεν.

Απηνέως. σκληρῶς.

Απεικός. ἄτοπον. οὐ πρέπον.

Απέσβη. ἀσβέσθη.

Απευκτόν. τὸ μὴ εὐχῆς ἄξιον.

Απέδωκεν. ἐκδέδωκε. παρέδωκε.

Απετείχιζεν. ἀπεχώριζεν. ἐκώλυεν.
Απεληλαμένοις. διωχθεῖσι.
Απεθέριζεν. ἀπέκτεινεν.
Απένειμεν. ἀπεκλήρωσεν. ἐδικαίωσε λαβεῖν. ἄττι ἂν χρῆμα
Απειγορευμέναι. κακαί.
Απλετον. μέγα.
Απολαύσω. τρυφήσω.
Απειπάμεθα. ἀπέγνωμεν. ἀπερρίψαμεν.
Απέδοθε. ἀπεπωλήσατο.
Απέδου. ἔπρασας.
Απημοσύνης. ἀπαθείας.
Αποδέσθαι. ἀποβαλεῖν.
Αποπομπή. ἡ πέμψις.
Απείρηται. ἀπηγόρευται.
Απεχθῶς. ἐχθρωδῶς μισητός.
Απεγράφης. ἠριθμήτης.
Απεμφαινούσας. ἀπόπλεως οὔσας.
Αποθεν. μακρόθεν.
Απείπαμεν. ἀπειπεῖν. ἀπαγορεύεσθαι.
Απότομος. ὀξύς.
Απλητα. οἱονεὶ ἄπληστα κατὰ διάλεκτον. καὶ ἄπλετον. ἀποκοπῆς τοῦ σ. σημαίνει δὲ τὰ ἄμετρα καὶ πολλά.
Αποσίλβοντας. λάμποντας.
Απόσιτος. ἄσιτος. ἄτροφος.

Αποδυσπετεῖ. ἀποδύρεται.
Αποβουκολῶ. ἀπατῶ καὶ ἀποπλανῶ.
Απόγονος. ἔγγονος.
Αποταυτομάτȣ. ἐξαίφνης. ἀφ᾽ ἑαυτȣ̃ κατὰ τυχέαν φοράν.
Αποσκοπȣ̃. ἔξωθεν τοῦ σκοπȣ̃.
Αποτρέπω. διώκω.
Αποτρόπαιος. χαλεπὸς. δεινὸς καὶ κακὸς. καὶ μισητός.
Αποκήρυκτος. ὁ ἐπ᾽ ἀδικήμασι τῆς οἰκίας ἐκβληθείς.
Αποκναιόμενοι. διαφθειρόμενοι. ἀποκοπτόμενοι. ἀπολυό=
μενοι. λυπούμενοι. ὀδυνόμενοι.
Αποκναίεις. διαφθείρης.
Αποιῆς. ἀπογῆς.
Απορος. κυρίως ὁ ἀδιόδευτος.
Αποτρέπω. διώκω. ἐξ οὗ καὶ ἀποτρόπαιος. διώκτης
λέγεται.
Απίδω. θεώρησω.
Αποχρεῖ. ἐξαρκεῖ.
Απότομον. φευκτόν.
Αποχρῶντος. ἱκανῶς, ἀρκοῦντος.
Αποσκηρωθὲν. ἀποσκληρυνθέν.
Αποςράτευτος. ὁ μὴ ἔχων προςασίαν τινος.
Απροσδεὴς. ὁ μηδενὸς χρείαν ἔχων.
Απροσεξία. ἀμέλεια. ῥαθυμία. παρὰ τὸ μὴ προσέχειν
τινὰ ἑαυτῷ. ἢ τοῖς πρακταίοις.

Απροσδιορίστως. ἀορίστως. μὴ πρὸς τι διορισμένως.
Απρόσιτος. ἀθεώρητος.
Απρόσκοπον. ἀσκανδάλιστον. μὴ ἔχον πρόσκομμα.
Απροσήκει. οὐ πρέπει.
Απρὶξ. ὅλῃ δυνάμει. ἰσχυρῶς. ἀσφαλῶς.
Απρόσβλητος. γενναῖος. οὗ οὐδεὶς προσβαλεῖν δύναται.
Απρόϊστος. ὁ ἀνέξοδος.
Απροόπτως. ἀπροοράτως. λαθραίως.
Απροσπέλαστος. ἀπροσέγγιστος. πελάσαι γὰρ τὸ προσεγγίσαι
Απτω. προσεγγίζω.
Απόνασθαι. ἀπολαῦσαι.
Απώναντο. ὠφελήθησαν.
Αποτάτω. ποῤῥωτάτω.
Απῶσμαι. ἀπέῤῥιμαι.
Απῴκισται. μετῴκισται. ᾐχμαλώτευται.
Απλαστος. ἀληθινὸς πρᾶ.
Αποφαίνομαι. βεβαιῶ ὁρίζομαι.
Απομόργματα. ἀποτυπώματα.
Αποκαραδοκία. προσδοκία. ἐκδοχή. ἐλπίς.
Απῆρεν. μετῆρεν.
Απηχήματα. ᾠδαὶ ἀπατηλαί.
Αποτίσωμεν. ἀποδώσωμεν.
Αποτείνεται. φιλονεικεῖ.
Αποσεμνύνει. μεγαλύνει. δοξάζει.

Αποστασία. ἀνταρσία.
Απρόσφορον. ἀνάρμοστον.
Απορύπτον. ἀποπλύνων.
Απόρρητος. ἄφραστος.
Απορρήξας. ἀπόκοψας.
Αποικία. μετάστασις.
Απονέμειν. παρέχειν.
Από ἐπιπιμήσεως. ἀπό ἐπιστροφῆς.
Απης. βοῦς.
Αποτυμπανίσθη. ἀπεκεφαλίσθη.
Απεφήμωσεν. ἀπεστόμωσεν.
Απηνεώθη. σύννους ἐγένετο.
Απηνίνατο. ἀπαρνήσατο.
Απιθι. ἀναχώρει.
Απιοῦσι. ὁρμῶσιν
Αποινον. ἀτιμώρητον. ποινὴ γὰρ ἡ τιμωρία.
Αποθεμᾶν. ἀπὸ νότου. ἀπὸ μεσημβρίας.
Αποκαταλλάξαι. φιλιάσθαι.
Αποκοπρίας. ἀποπειρασμῶν.
Αποσωβῆσαι. ἀποδιῶξαι.
Αποστυγεῖ. μισεῖ. ἀποβάλλεται.
Αποσχεδιάσας. ψευσάμενος.
Αποτμήξαντες. ἀποχωρήσαντες.
Αποπληξίας. ἀπομανίας.
Αποφοιτᾶν. ἀποχωρεῖν.

Απολῶ. ἀφανιῶ.
Αποκηρυχθέντα. ἀποβληθέντα.
Απίεσαν. ἀπήρχοντο.
Απήλασεν. ἐξεδίωξεν.
Απόνοια. ἡ χωρίζουσα τοῦ δέοντος.
Απομάγματα καὶ απομόργματα. ἀπομάγματα μὲν εἰσι τὰ ἀποτυπώματα καὶ ἀποσπογγίσματα. ἀπο(?)μάγματα δὲ τὰ ἀπαλγάσματα.
Αρα. σύνδεσμος συλλογισικός.
Αρα. ἀληθῶς. πάντως.
Αρα καὶ ἄρα διαφέρει. ὁ μὲν κατὰ περισπώμενον λεγόμενος σύνδεσμος ἀπορητικός ἐσιν ὅτι διαπορουντος λέγομεν. ἆρα τέλος ἔξει τὸ πρᾶγμα. ὁ δὲ κατὰ συστολήν. ἀλλὰ μήν. ἡμέρα ἐσὶν. εἰ τοῦτο συμφέρειν ποιεῖ. ποιητέον ἡμῶν ἄρα ἐσίν.
Αρασσόμενα. προσρηγνύμενα.
Αραρώτως. ἡρμοσμένος. ἀσφαλῶς. γενναίως.
Αραρώτως. κεχρυμμένως.
Αράμενοι. ἐπάραντες.
Αραιάς. τὰς βλαπτικὰς νῆας.
Αρεοπαγίτης. κριτής. δικασής. βουλευτής. ὁ δικάζων καὶ σιωπῶν δι᾽ ὅλου.
Αργαλεώτερος. χαλεπώτερος. δεινότερος.
Αράς. κατάρας.
Αραπι. ἐπάραπι.

Αργεννής. λαμπρός.
Αρνιος. τὸ νεογενὸς πρόβατον.
Αργάλεον. μάταιον.
Αργός. λευκός.
Αργιόδοντες. λευκόδοντες.
Αργυρος. ρ̄ δηνάρια ὑπῆρχα. ἄργυρος δὲ ἐτυπώθη ἀπαρχῆς τὸ Ν̄. ἐκ δὲ τῶν ἀσσυρίων ἐφοίτησε. Αβραὰμ δὲ εἰς γῆν Χαλδαίων φασὶ τὸν τύπον ἐνήνοχε
Αργυρώνητος. ἀργυρίου ἀγοραθείς.
Αργυφαῖος. λευκός. λαμπρός.
Αρδεύσαντες. ποτήσαντες.
Αρδην. ἐπίρρημα. συνηθροισμένος. ἀθρόως. παντελῶς.
Αρδεία. ποτισμός
Αργος. ποτὲ μὲν τὸν λευκόν. ποτὲ δὲ τὸν ταχύν.
Αρδιν. τὸ βέλος.
Αρείων. βελτίων.
Αρες. αἱ γυναῖκες.
Αράχνη. ὕφασμα.
Αῤῥενωπός. φοβερός.
Αρετὴ. αἱρετή. θεία δύναμις. λέγεται δὲ καὶ ἡ ἐν θεῷ πολιτεία.
Αρετὴ. ἀρέσκων θεῷ τι.
Αρήγει. βοηθεῖ.
Αρβύλη. εἶδος ὑποδήματος.

Ἀρθρέμβολα. ὄργανα τιμωρητικὰ δι᾽ ὧν τὰ μέλη πῶν διχῶν ἐξαρθροῦσιν οἱ δήμιοι.

Ἀρητῆρα. τὸν ἱερέα.

Ἀριπρεπέα. τὸν πάνυ εὐπρεπῆ.

Ἄρθρον. μέρος λόγου. δι᾽ οὗ τρανώτερα ἡ λέξις πέφυκε γί=νεσθαι.

Ἄρθρα. μέλη.

Ἀριδήλως. φανερῶς.

Ἄρρητον. τὸ δυνάμενον ῥηθῆναι καὶ μὴ λαλούμενον. ἀπ= όρρητον δὲ τὸ ἀκατάληπτον καὶ μὴ δι᾽ ὅλως φρασ= θῆναι δυνάμενον.

Ἀριστονομία. εὐνομία. ἄριστον γὰρ τὸ καλόν.

Ἀρκύων. λινῶν δεσμὸς δικτύων θηρευτικῶν.

Ἀρνειὸς. ὁ ἐνιαυτός.

Ἄρκτιον. ἀπευκτὸν καὶ χαλεπόν.

Ἀρκτούρων. ἀρκτὸς τόπος. διὰ τοῦτο καὶ οἱ ζ ἀστέρες ὁμοῦ καλεῖται ἀρκτοῦρος. ἐπειδὴ ἐπὶ τὸ ἀρκτῷον κατανοεῖται. λέγεται δὲ καὶ ἅμαξα.

Ἀρίστων δήν. τῶν ἐκ τῶν καλλίστων ἐκλελεγμένων.

Ἄρμα. παρ᾽ ἕλλησι μὲν τὸ ζεῦγος τῶν βοῶν. παρὰ δὲ ῥω= μαίοις τὴν καροῦχαν σημαίνει καὶ ὁ π.

Ἄραβος. κτύπος. ἢ ἦχος. κυρίως δὲ ἐν ὄρει βοή.

Ἀραρύας. βεβαίας. ἡρμοσμένης.

Ἀρην. πρόβατον.

Ἄριστος. κράτιστος. κάλλιστος. βέλτιστος. ἀγαθὸς καὶ ἀν=
δρεῖος.
Ἀῤῥενωπόν. ἀθήλυντον. ἀνδρεῖον.
Ἀρκτῴων. βορείων τόπων.
Ἄρκτος. τὸ ἐν οὐρανῷ ζώδιον.
Ἀρκτέον. ἄρξασθαι δή.
Ἁρμών. ἡ ἁρμογὴ ἁρμωνίων καὶ συνάφεια.
Ἁρμονίας. εὐφωνίας.
Ἁρματηλάτης. ἡνίοχος.
Ἀρμένιος. ἀπέργης.
Ἁρμόζεται. συζεύγνυται. συνάπτεται.
Ἄρνας. πρόβατα. ἀμνοὺς.
Ἄρης. πόλεμος.
Ἄρουρα. γῆ. ὡς ἐπὶ πολὺ δὲ ἡ σπόριμος.
Ἀριστερά. λέγεται ἡ χεὶρ. κατ' εὐφημισμόν. ὅθεν καὶ
εὐώνυμος ὁμοίως. οἷον ἡ καλώνυμος. καὶ ὡς φό=
βος φοβερός. οὕτως ἄριστος ἀριστερός.
Ἀρνειός. ὁ μέγας κριός. ἀρνεῖος δὲ ὁ μήν.
Ἅρπυια. ἀνέμου εἶδος. ἢ δαίμονες. ἢ ἁρπακτικοί. ἢ ὄρ=
νεα ἁρπακτικά.
Ἀῤῥωγέ. βοηθέ. λυτρωτά.
Ἀρωτῆρες. ἀροτριῶντες.
Ἄρτιος. ἀπελής.
Ἀροῦν. ἀροτριᾶν.

Αρτιος. ὑπερτελής.
Αρ οὖν. ἀντὶ τοῦ ἄρα οὖν.
Αρήσασθαι. εὔξασθαι.
Αρτι. πρὸ μικροῦ.
Αρνα. τὸν πόλεμον.
Αῤῥενοποιὸς. αἰσχροποιός.
Αῤῥήτως. ἀλέκτως.
Αρπη. δρέπανον καὶ εἶδος ὀρνέου.
Αρπομαι. ἁρπάζω. δρεπάνῳ κέχρημαι.
Αῤῥηκτον. ἄσχιστον.
Αῤῥίχοις. κοφίνοις.
Αρσέων. βασαγμάτων φορτίων.
Αρσις. βασαγὴ γόμος.
Αρτίφρων. ὑγιὴς καὶ πεπληρωμένος.
Αῤῥενωπὸς. ἀνδρεῖος καὶ δυνάμενος πρὸς ἔχθραν ἀντιτάχθαι.
Αρτι καὶ ἀρτίως διαφέρει. ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα. τὸ δὲ ἀρτίως ἐπὶ τοῦ ἀρτισμένου τελείως ἔργου. τὸ μὲν γὰρ ἀρτίως σημαίνει αὐτῆς τῆς ὥρας. τὸ δὲ ἄρτι παρατατικός.
Αρτι. πρὸ μικροῦ.
Αρσαι. ποτίσαι.
Αρτίως. ὁλοκλήρως. λέγεται δὲ τὸ νυνί.
Αῤῥεπῶς. ἀκλινῶς. βεβαίως.

Αρυσάμενος. ἀπαντλήσας.
Ἄῤῥωστος. ἐκ τοῦ μὴ ἔχειν ῥῶσιν τουτέστιν ὑγείαν.
Ἄρυθμος. ἀδιατύπωτος. ἀκανόνιστος. μὴ ἔχων εἱρμὸν. ῥυθμὸς γὰρ ὁ τύπος.
Αρῶ. ἐκτενῶ.
Αρχηγέταις. ἄρχοντας.
Αρχων. ὁ ἀρχὴν ἔχων. ἤγουν πάντων τῶν μετ' αὐτοῦ ἄρχων. καὶ ὁ ὅλα ἔχων. ἤγουν πάντα.
Αρχοὶ. ἡγεμόνες. ἄρχοντες.
Αρχία. ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται. χαρτοφυλάκιον.
Αρχή. πρὸ κατὰ φύσιν πάντων τῶν μετ' αὐτὴν ἄρχειν.
Ἀῤῥωγὸς. βοηθός.
Αρτῶ. κρεμῶ.
Αρῶν. καταρῶν.
Αρώμενος. καταρώμενος.
Αρῶμαι. καταρῶμαι
Αρθεὶς. μετεωρισθεὶς. ἢ ἐπαρθείς.
Αρχέτυπον. πρωτότυπον. ἀφ' οὗ πᾶσιν ὁ τύπος.
Αρτιθαλή. νεόφυτον.
Ασάμινθος. πύελος ὅπου ἐπλούοντο οἱ λέβητες.
Ασέλγεια. πονηρὰ ακοσμία καὶ πορνεία.
Ασαι. κορέσαι. θρέψαι. λέγεται δὲ καὶ τὸ δοξάσαι ἆσαι.
Ασήμως. ἀτρανώτως.

Ἄσθματος. συνεχομένης ἀναπνοῆς. ἢ συγκοπτομένης.
Ἄσκησις. ἐπιμελὴς ἐργασία.
Ἀσινής. καθαρός. ἀβλαβής. ὁλόκληρος.
Ἀσθμαίνει. πνευστιᾷ. ἀναπνέει.
Ἀσκούμενοι. μελετῶντες. γυμναζόμενοι. παιδευόμενοι.
Ἀσκῶ. τὸ πονῶ.
Ἄσπετος. ὁ ἀπαρακολούθητος καὶ πολύς.
Ἄσπετον. πολύ.
Ἀσμενίζω. ἡδέως ἔχω. θαυμάζω ἢ χαίρω.
Ἄσκιος. ὕλη δασεῖα.
Ἀσκώματα. ἧπαρ καὶ γνάθους καλοῦσιν. οἱ εἰσι χαλκεῦ-
τι καὶ φῦσαι.
Ἀστρολογία. ἀστρονομία διαφέρει. ἀστρονομία γάρ ἐστιν ἡ
κατάληψις τῶν ἄστρων. ἀστρολογία δὲ ἡ τὰ ἐκ τῶν
κινήσεων ἀποτελέσματα ἐπιστήμη.
Ἄστυ. πόλεις.
Ἀστικῶν. πολιτικῶν.
Ἀσμένως. μετὰ χαρᾶς ἡδέως.
Ἀσμενέστατα. χαιρόντως.
Ἆσμα. ὕμνος. μελῳδία.
Ἄσπετον. πολὺ ἄφθονον.
Ἀσπασίως. ἡδέως. περιχαρῶς.
Ἄσπονδοι. ἐχθροὶ ἄγριοι.
Ἀσπίδες. θηρία. ὀφιώδη. λέγεται δὲ καὶ τὸ παρὰ ῥωμαίοις
σκουτάριον ἀσπίς.
Ἀσπιστῶν. ὁπλιτῶν.

Ἀσπιδίσκαι. σουτάρια.
Ἀσπαλιεία. ὁρμιά. ἁλιευτικά.
Ἀσπαλιευτής. ἁλιεὺς τῇ ὁρμιᾷ χρώμενος.
Ἄσσον. ἆσσα. ἐγγύς.
Ἄστεγον. τὸ μὴ ἔχον στέγην. λέγεται δὲ καὶ ὁ φλύαρος καὶ ἀνυπόμονητος.
Ἀστοῖς. πολίταις.
Ἄστεσι. πόλεσι.
Ἀστυγείτονες. πλησιοχῶροι. οἱ πλησίως τοῦ ἄστεως οἰκοῦντες. τουτέστι τῆς πόλεως.
Ἀστικοῖς. πολιτικοῖς.
Ἀστιβῆ. ἄβατον. ἀτριβῆ. ἀπάτητον. στίβος γὰρ ἡ τρίβος.
Ἀστεῖος. ὁ χαρίεις, καὶ καλός. γελοιωδῶς τι καὶ χαρίεις ἀποκρινόμενος.
Ἄστεκτος. ἀφόρητος. ἀβάσακτος. ὃν οὐδεὶς δύναται βαστάζειν.
Ἀστράγαλος. τὸ τῶν ποδῶν σφυδῶν.
Ἀστερόεις. αἱματόεις.
Ἀστερόεντα. ἀστέρας ἐκπεποικιλμένους ἔχοντα. ἢ λαμπρούς
Ἀστεϊζόμενος. ὡραϊζόμενος. κομψευόμενος.
Ἀστηρίκτους. ἀβεβαίους.
Ἀστεροπαῖς. ἀστραπαῖς.
Ἀσυνθέτους. μὴ ἐμμένοντας ταῖς συνθήκαις.
Ἀσχέτως. ἀμέτρως.
Ἀσφάραγος. ὁ λεγόμενος λάρυξ.
Ἀσφάραγον. τὸν βρόγχον.

Ασύμφορον. τὸ μὴ σύμφερον. τὸ μὴ πρέπον.
Ασυνδίαστος. ἀσύμπλοκος. ἀσύζευκτος.
Ασυμφανῶς. ἀδήλως. ἐπικεκαλυμμένως. αἰνιγματωδῶς.
Ασύγκριτος. ὑπερέχων. μὴ συγκρινόμενος.
Ασυντελῆ. ἀσύμφωνον. ἄαριστον.
Ασύμβατον. ἀφίλωτον. πολέμιον. ἀδιάλλακτον. σύμβασις γὰρ ἡ φιλία.
Ασυνθεσία. παράβασις συνθήκων.
Ασύντακτον. μὴ τεταγμένον.
Ασύνθετος. ἀσύμφωνος. μικτός.
Ασύφηλος. ἀπαίδευτος. ἀνόητος. χαλεπὸς. ἄτιμος. ψεύστης.
Ασφαλτος. σημαίνει δύο. τὴν πίσσαν μεθ᾽ ἧς τὰ πλοῖα χρίονται. καὶ τὴν ἄσβεστον.
Ασφάλειαν. σωτηρίαν. περιχάκλωσιν. τὴν δι᾽ ἐγγράφων βεβαιότητα.
Αχετον. ἀκατάσχετον. ἀκράτιστον.
Ασπίσαι. βοηθῆσαι.
Αστοργος. μηδένα φιλῶν. ἄσπλαγχνος.
Αστεμφὴς. καὶ ἀστεμφέως. ἀμετακινήτως. ἰσχυρῶς.
Ασχάλλει. λυπεῖται. ἀθυμεῖ. ὀλιγοψυχεῖ.
Ασώτως. αἰσχρῶς. ἀπολωλότως.
Ασω. τραγῳδήσω. ὑμνήσω.
Αταρ δὲ. πλὴν ὅμως δέ.
Αταρ ἄν. διὰ τοῦτο οὖν.
Ατάσθαλος. ὑβριστής. ἁμαρτωλὸς. ἀκόλαστος. ἄδικος.

Ατειρής. σκληρός.
Αταλος. ὁ ἁπαλός.
Ατάρτηρος. χαλεπός.
Ατευκτα. ἀκάματα. σκληρά. σημαίνει δὲ καὶ ἀβλαβῆ.
Ατεχνῶς. ἀδόλως. ἀπλάστως. τέχνη γὰρ ὁ δόλος.
Ατημελήτως. ἀπρονοήτως. ἀνεπιμελῶς.
Ατεμβεῖν. τὸ στερίσκειν καὶ βλάπτειν.
Ατενίζω. τὸ πάνυ βλέπω. καὶ ἐκτείνω.
Ατίζεσθαι. ταράσσεσθαι.
Ατέραμνον. ἀπαραίτητον. σκληρόν. δεινόν. ἀκόσερον πολύ.
Ατρακτος. τὸ γυναικεῖον ἐργαλεῖον ἐφ' οὗ τὸ νῆμα περιέχεται.
Αταλαίπωρος. ἀκοπίαστος.
Ατὰρ δή. ἀλλὰ δή. διὰ τοῦτο
Ατάρβητος. ἄφοβος. ἢ ἄτρομος.
Αταμίευτα. ἀφύλακτα. ἀναπόθετα.
Ατειράμων. ἀκαταπόνητος.
Αστροπαλοῦντας. ἀστεροσκοποῦντας.
Ατάλλων. ὁ ἀπαθής. ὁ μὴ κακοπαθῶν.
Ατιμνεύειν. τὸ δουλεύειν.
Ατεδή. ὡς δή. δηλαδή.
Ατεκτοι. ἄβροχοι. ἀμάλακτοι.
Ατευχῆ. ἄοπλον.
Ατενές. τὸ ἄγριον βλέμμα.
Ατεχνῶς. μεγάλως. ἢ πάνυ.

Ατε. ἐπίῤῥημα παραβολῆς ἀντὶ τοῦ ὥσπερ. καθάπερ.
Ατερ. ἐκτὸς. χωρίς.
Ατη. βλάβη.
Ατθιδῶν. τῶν ἀθηναίων.
Ατίθασσον. ἄγριον ἀνήμερον. τιθασσεύειν γὰρ τὸ τὰ ἄγ=
γρια θηρία χειροήθη ποιεῖν.
Ατραπὸς. ὁδός.
Ατλητον. ἀνυπομόνητον.
Ατίζει. ἀτιμάζει. βλάπτει.
Ατμὶς. ἀναθυμίασις καὶ ἀναπνοὴ τοῦ πυρὸς καὶ τὸ
ἄκρον.
Ατμὸς. ἀνάδοσις. ὑγρῶν ἀναδόσεων.
Ατομα. τὸ πάνυ λεπτότατα. τὰ τομὴν μὴ δυνάμενα
δέξασθαι.
Ατρυτα. ἀκάματα. σκληρὰ. καὶ ἰσχυρὰ. σημαίνει δὲ
καὶ ἀβλαβῆ.
Ατρυτόνη. ἡ ἀθηνᾶ. καὶ τρυτάνη ὁ ζυγός.
Ατρεκὲς. ἀληθές.
Ατιειν. τὸ ἄλλεσθαι καὶ πηδᾶν.
Αϋτὰς. φωνὰς. κραυγὰς. βοάς.
Ατρεμία. ἠρεμία. ἡσυχία.
Ατρεκῶς. ἀληθῶς.
Ατρεπτον. ἀναλλοίωτον.
Ατρεμα. ἤρεμα. ἡσυχῆ.
Ατρύγετος. ὁ καρπός.
Ατρύτοις. ἀκαταπονήτοις.

Ατρυγον. καθαρόν. τρύγαν μὴ ἔχον.
Ατραλέως. δρασικῶς.
Ατρώτους. ἰσχυρȣ̃ς. ἀνικήτȣς. μὴ τρωθέντας.
Ατμος. ἡ ἀπνοή.
Ατρεκέστατος. ἀληθέστατος.
Αττα. προσφώνησις τιμητικὴ νεωτέρȣ πρὸς πρεσβύτερον.
Αττοντες. ὁρμῶντες. πηδῶντες.
Αττα τινά. ὀλίγα τινα.
Αττα. ἅτινα. ἤ τινα παραπλήσια.
Αττικοῖς. τοῖς ἀθηναίοις.
Ατυζόμενος. λυπȣ́μενος. φοβούμενος. θορυβούμενος.
Ατυφία. ταπεινοφροσύνης.
Αυ. δή.
Αυθις. καὶ αὖθι χώρὶς τȣ̃ σ. διαφέρει γάρ. τὸ μὲν γὰρ αὖθίς ἐστι τὸ πάλιν ἢ μετὰ ταῦτα. τὸ δὲ αὖθι τὸ αὐτόθι σημαίνει.
Αυα. ξηρὰ ξύλα.
Αυγουστος. ὁ κύριος κατεξȣσίαν ἔχων. ἢ σεβάσμιος.
Αυγουστος. σεβαστός.
Αυλῶπις. περικεφαλαία τεταμμένη.
Αυαίνεται. ξηραίνεται. αὖον γὰρ τὸ ξηρόν.
Αυδῶν. φωνῶν.
Αυδή. φωνή.
Αυδῶ. φωνῶ. λέγω.
Αυθις. εὐθέως. ἐκ δευτέρȣ πάλιν.

Αυλισμὸς. ἡ καθαρῳδία.
Αυθαιρέτως. αὐτοβούλως.
Αυθάδης. θυμώδης. θρασὺς. αὐτάρεσχος.
Αυθέντης. κυρίως ὁ ἑαυτὸν ἀναιρῶν. διὸ παρὰ σωκράτῃ καὶ Θουκυδίδῃ οὐ λέγεται αὐθέντης. ἀλλ' αὐτοέντης. ὅ ἐστιν αὐτεξούσιος. καὶ ἄλλως. αὐθέντης. κυρίως ὁ φονεὺς. ὁ ἑαυτὸν κτιννύων. εἴρηται δὲ παρὰ τὸ αὐτοέντης τις ὤν. ὁ ἑαυτὸν βάλλων τοῖς ἔντεσιν ὅ ἐστι τοῖς βέλεσι. τὸ δὲ τῇ ἐνσυνηθείᾳ ἔοικε παρὰ τὸ αὐτὸ καὶ τὸ ἔντης. ὁ ἑαυτὸν ἐπαφιεὶς εἰς πάντα καὶ ὢν αὐτεξούσιος καὶ μὴ ἄλλου. ἀλλ' ἑαυτοῦ ὤν.
Αυλιξι. φλέψ.
Αυθέκασα. αὐτὰ τὰ γινόμενα. οἷον ἀκριβῶς καὶ συντόμως. καὶ λόγοι αὐθέκασοι οἱ σαφεῖς καὶ σύντομοι.
Αυθιγενὴς. ἐντόπιος γνήσιος.
Αυθάδης. ὑπερήφανος.
Αυλίζεται. κοιμᾶται. φυλάττει.
Αυλία. θύρα. πυλών.
Αυλαία. τὸ τῆς σκηνῆς παραπέτασμα.
Αυόνη. ἡ ξηρότης.
Αυλωνες. φάραγγες. ἢ τόποι πλατεῖς εἰς τὰ ὄρη.
Αυροὶ. λαγωοί.
Αυλίκουροι. φύλακες.
Αυξη. αὔξησις.
Αυτως. ματαίως. ἀπράκτως.
Αυρα. πνοὴ ἀνέμου καὶ ἡ γαλήνη.

Αυσωνίων. γλώττων. ἰταλικῶν.
Αὔσας. φωνήσας. κράξας. βοήσας.
Αυτοσχέδιον. τὸ εὐθὺς καὶ πάρουντα ῥηθὲν ἢ γενόμενον.
Αυτόσε. ἐκεῖσε.
Αυτόθεν. ἐκεῖθεν.
Αυτόματος. αὐτοκέλευστος. αὐτόβουλος.
Αυτόμολος. ὁ ἀφ' ἑαυτοῦ μολών.
Αυτίκα. ἐπίρρημα μεσότητος καὶ χρόνου δηλωτικὸν τὸ π
ι. τὰ εἰς κα ἐπιρρήματα τὸ ι παραλήγονται. οἷον
αὐτίκα. ἡνίκα. τηνίκα.
Αυλόνος. στενοῦ τόπου.
Αυτομόλως. προδοτικῶς.
Αυτόπρυμνον. αὐτόριζον.
Αυτόχθων. πολίτης γνήσιος. χθὼν γὰρ ἡ γῆ.
Αυτόματος. ὁ μὴ ἐπιζητηθείς. ἀλλ' αὐτὸς ἑαυτὸν ἄγων.
Αυτοτελής. τέλειος.
Αυτονυχί. αὐτῇ τῇ νυκτί.
Αυτοῖσιν. αὐτοῖς.
Αυτοῖο. αὐτοῦ.
Αυτίκα. εὐθέως. ταχέως καὶ καλῶν.
Αυτοχρῆμα. αὐτὸ τὸ πρᾶγμα.
Αυτόματον. αὐτοφυὲς καὶ αὐτοπρόθυμον.
Αυταρκής. ἱκανῶς. ἐξαρκῶν
Αυτοσχεδίως. αὐτομάτως. συντόμως.
Αυτοσχεδιάσας. ψευσάμενος.
Αυτολόχευτος. αὐτογέννητος. ὁ θεὸς ὁ ἀγέννητος.

Αὐτόγυον. μονόβολον.
Αὐτοκράτωρ. κοσμοκράτωρ.
Ἀφεγγεῖς. μὴ ἔχοντας φέγγος ἢ φῶς.
Ἀφυκτους. ὡς οὐδεὶς δύναται φυγεῖν.
Αὐτόκλατος. αὐτόκλητος.
Αὐτμή. ἡ ἀναπνοή.
Αὐτόχειρες. οἱ τῇ ἰδίᾳ χειρὶ ἑαυτοὺς ἀποκτείνοντες. λέγεται δὲ καταχρηστικῶς. καὶ ἐπὶ τῶν παρέργων ἰδιοχείρως πλέοντων.
Αὐτουργός. ὁ δι᾽ ἑαυτοῦ ἐργαζόμενος.
Αὔτανδρος. σὺν αὐτοῖς τοῖς ἀνδράσι.
Αὐτόπτης. θεατής.
Αὐθήμερον. αὐτῇ τῇ ἡμέρᾳ.
Αὐλιζόμενος. ἐνδιατρίβων.
Αὐτόθι. ἐν αὐτῷ τῷ τόπῳ.
Αὐχήματα. σεμνολογήματα. καυχήματα. ὑπερηφανεύματα.
Αὐχὴν. παρὰ τὸν αὐχμόν. ξηρὸς γὰρ ὁ τράχηλος. καὶ ὀστώδης. λέγεται δὲ καὶ αὐχένα.
Αὐχμηρὸς. ὁ κατάξηρος. καὶ αὐχμηρὸς ὁ σκοτεινός.
Αὐχην. ὁ τοῦ ἀνθρώπου τράχηλος. τὸ ἄκρον τοῦ ὄρους. καὶ αὐχὴν τὸ αὐχένιον τοῦ πλοίου.
Αὐχμηρὸν. σκοτεινὸν.
Αὐχμῶντα. ῥυπῶντα.
Ἀφελής. παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ ἕλην. ὅπερ σημαίνει τὸ ἄκακον κατὰ τὸ φερόμενον ἐν τῇ κοινότητι.
Ἀφάροτος ἀναροτρίαστος. φάρος γὰρ ἡ ἄροσις.

Ἀφαυρὰ. ἀσθενέστερα. ἀμαυρότερα. ἢ κουφότερα.
Ἀφαυροτέροις. ἀσθενεστέροις.
Ἀφάτω. ἀλέκτω.
Ἀφασίαν. σιωπὴν. ἀφωνίαν. παρὰ τὸ μὴ δύνασθαι λέγειν.
Ἀφαρ. ἐπίρρημα μεσότητος. ἀντὶ τοῦ εὐθέως. ταχέως.
Ἀφαίρημα. ἀνάθημα. δῶρον. ξένιον.
Ἀφαγνίσαι. ἀποδῦναι. καθιερῶσαι. λέγεται δὲ καὶ τὸ συλῆσαι
Ἀφαιρεῖται. ἀποσπᾷ.
Ἀφατον. ἄρρητον. ἀμέτρητον. πολύ. πάνυ.
Ἀφειδήσας. μὴ φεισάμενος. ἢ περιιδὼν. καταφρονήσας.
Ἀφέτους. ἀπολελυμένους.
Ἀφέμενος. ἐάσας. καταχωρισθείς.
Ἀφέλως. ἁπλῶς.
Ἀφειδία. καρτερία.
Ἀφεθὲν. ἀπολυθέν.
Ἀφαιδρῶναι. στέλλαι ἢ σωτηρία.
Ἀφασάμενος. ψηλαφῶν.
Ἀφαδία. ἡ ἀπαρεσκέσα ἔχθρα.
Ἀφέξει. ἀποκωλύσει. ἀποστήσει.
Ἀφείλαντο. ἀπεστέρησαν.
Ἀφέδρῳ. ἀκαθαρσία. ὅταν γυνὴ τὰ ἔμμηνα αὐτῆς ἔχει. ἀφεδρῶν παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τοῦ ἕδρα γίνεται ἀποέδρα καὶ ἀφέδρα ἀφεδρῶν καὶ σημαίνει τὸν κόλον καὶ τὴν ἀκαθαρσίαν τῆς γυναικὸς ὅταν τὰ ἔμμηνα αὐτῆς ἐκρεῖ. καὶ λέγεται ἄφεδρος.

Ἄφενος. ἐνιαύσιος καρπός. ἔνος γὰρ ὁ ἐνιαυτός.

Ἄφετος. ἀπολελυμένος.

Ἄφεσις. ἀπόλυσις. ἐλευθερία καὶ ἡ ἐκδρομὴ τοῦ ὕδατος τῆς πηγῆς καὶ ἀπόλυσις τοῦ βέλους.

Ἀφηνιάσαντες. ἀποχωρισθέντες. ἀποσκιρτήσαντες.

Ἀφηγή. ἀρχαῖς.

Ἀφηγεῖσθαι. διηγεῖσθαι.

Ἀφηβηκότι. γηράσαντι ὑπερβεβηκότι τὴν ἥβην τουτέστι τὴν νεότητα.

Ἀφή. χρόα λέπρας καὶ ἡ ψηλάφησις.

Ἄφθιτον. ἄφθαρτον. φθίνειν γὰρ τὸ μειοῦσθαι λέγεται ὡς ἐπὶ τῆς σελήνης.

Ἀφιλότιμος. ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τὴν τιμήν. ἢ ἡττᾶσθαι διὰ δόξης.

Ἀφίκετο. παρεγένετο.

Ἀφανισμός. δήωσις πολεμίας.

Ἀφικομένῳ. παραγενομένῳ.

Ἀφίξεται. παραγενήσεται.

Ἀφῖχται. παραγέγονε.

Ἀφιγμένος. παραγενόμενος.

Ἀφίκοντο. παραγέγονεν.

Ἀφίδρυσμα. ἱερὸν ναόν.

Ἀφιέρωσεν. ἐπέθηκε τῷ θεῷ.

Ἀφικέσθαι. παραγενέσθαι.

Ἀφίκοιντο. ἔλθοιεν. παραγενέθην.
Ἀφικνουμένη. φθάσα.
Ἀφιλοικτίρμονες. ἀνελεήμονες.
Ἀφνειός. πλούσιος.
Ἄφθονον. τὸ πολὺ μετὰ τοῦ ἐπιτατικοῦ α. κυρίως δὲ λέγεται ἡ λέξις ἐπὶ πλήθους ῥεόντων ὑδάτων. ἐξ οὗ καὶ ἀφθονία. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄφατον. ἔστι δὲ καὶ ἐπίρρημα μεσότητος. ἀφθόνως.
Ἄφιξις. ἡ παρουσία.
Ἀφοσιώμενον. τὸ ἀποκεκληρωμένον καὶ τετιμημένων.
Ἀφορίζω. διαχωρίζω. ἐκλέγω.
Ἀφορισθῆναι. διακριθῆναι. διαχωρισθῆναι.
Ἀφορολόγητον. ἄφορον μὴ τελοῦν.
Ἀφοσιούμεθα. ἀφιερούμεθα.
Ἄφιξιν. ἔφοδον.
Ἀφόρητον. δεινόν. ἀβάσταχτον.
Ἀφυσμός. ἀφρός.
Ἀφόρωντος. ἀποβλέποντος.
Ἄφοδον. ἀναχώρησιν. ὡς καὶ ἔφοδον ἐπέλευσιν.
Ἀφροντιστεῖ. ἀμεριμνεῖ.
Ἀφυής. ὁ κακότροπος.
Ἀφυής. δυσχερής.
Ἀφορμῶ. παρὰ τὴν ἀπό πρόθεσιν καὶ τὸ ὁρμῶ. γίνεται ἀπορμῶ καὶ ἀφορμῶ. καὶ σημαίνει τὸ ἀπέρχομαι ἐξ. οὗ καὶ ἀφορμὴ ἡ νεῦσις.

Ἀφοσιωμένος. ὁ ἀποκεκληρωμένος. καὶ τετιμημένος. παρὰ δὲ ἡσιώδῳ ὁ ἄφρων.

Ἀφνω. ἀπροσδοκήτως. ἔστι δὲ ἐπίῤῥημα Χρόνου δηλωτικόν.

Ἀφοσιώσας. καθάρας. ἢ ξενώσας. ἢ τὴν ὁσίαν ποιῶν. τουτέστι τὴν κηδείαν. ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην.

Ἀφραστον. ἀφανές. ἀνεκδιήγητον. ἄλεκτον. ἀκατάληπτον. ὃ μὴ φράζεται.

Ἀφραίνει. παρανοεῖ. μωραίνει.

Ἀφροδίσιον. ἔργον ἀφροδίτης. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν λαγνῶν τῶν ἐρωτικῶς περὶ τὴν οὐσίαν καὶ σφοδρῶς διακειμένων.

Ἀφραδέως. ἀδιανοήτως.

Ἀφυκα. ἀκαλλώπιστα. παρὰ τὸ μὴ φυκάριον Χρῆσθαι. ὃ αἱ γυναῖκες τὰς παρειὰς ἐρυθραίνουσαι καλλωπίζονται

Ἀφωνος. ἄφθογγος.

Ἀφύκτων. πολυπλόκων.

Ἀφορμὴ. πρόφασις. αἰτία.

Ἀφικνεῖται. παραγίνεται. φθάνει.

Ἀφθονον. πολύν.

Ἀχάνει. ἀφεγγεῖ.

Ἀχανὲς. τὸ μέγα καὶ βαθὺ καὶ τὸ ἡπλωμένον.

Ἀχαρὲς. λυπηρὸν. καὶ οὐ τερπνόν.

Ἀχανὴς. ἄλαλος. ἄφωνος. ὁ μὴ κεχηνώς. μὴ διᾶραι τὸ στόμα δυνάμενος. ἐνεός. ὁ ἐκπεπληγμένος σιωπῇ

Αχείρωτος. ἀνίκητος. ἀήτ7ητος.
Αχαιΐς. γυνὴ ἀπὸ ἀχαΐας.
Αχθεται. λυπεῖται. βαρεῖται.
Αχθος. βάρος. λύπη.
Αχθηδόνες. βάρη. λῦπαι.
Αχι. ὅπυ. ἢ τὸ παρὰ τὸ τῦ γηῶν χεῖλος.
Αχλυς. σκότος. ὁμίχλη ζόφος. ἀμβλυωπία
Αχνυμένοι. λυπυμένοι.
Αχνυς. ἡ λύπη. εἴρηται παρὰ τὸ ἄχος παρωνύμως. καὶ
κατὰ πλονασμὸν τῦ ν. ἄχνυς.
Αχοην. ἄμπελον.
Αχος. λύπη. βαρυνῦσα καὶ ἐνοχλῦσα.
Αχω. σημαίνει τὸ ἀδημονῶ. τὸ παθητὸν ἄχομαι. ἐξ
ὧν καὶ ἀχάλλω καὶ ἀχαλῶ. καὶ ἀχάλλω καὶ ἀχαλλῶ
Αχνη. τὸ λεπ7ότατον τῦ ὕδατος καὶ τῶν ἀχύρων. καὶ
ὁ ἀφρός
Αχόρυς. καὶ κακοχόρους.
Αχραντον. ἀμίαντον ἐκ τῦ μὴ χραίνεσθαι ὅ ἐστι μολύ=
νεσθαι.
Αχρι. ἄχρις. ἀντὶ τῦ μέχρι. ἕως.
Αχρεῖος. ἄχριστος.
Αχυρμιαὶ. ἄχυρα αἱ ἀλωνίαι
Αψαυστον. ἀπροσπέλαστον. ᾧ οὐδεὶς ἔγγισεν ἢ ἐγγίζει
ψαύειν γὰρ τὸ ἐγγίσαι.

Ἄψεα. μέλη.
Ἀψιμαχία. συαφὴ μάχαι.
Ἀψίχορον. παρὰ τὸ ἄψ ὃ σημαίνει τὸ εὐθέως.
Ἄψορον. ἐπίῤῥημα μεσότητος. ἀντὶ τοῦ οπισθόρμητον.
Ἄψοροι. ὀπισθόρμητοι.
Ἀψίνθιον. εἶδος βοτάνης πικρᾶς ὡς τὸ ἀβρότονον.
Ἀψ. σημαίνει τὸν δεσμὸν καὶ τοῦ τροχοῦ τὰ ἐπικαμπῆ ξύλα.
Ἀψ. εἰς τὰ ὀπίσω. καὶ ἄοψ. τὸ μὴ ὅπλον. ἤγουν τὸ ἄοπλον. τὰ γὰρ ὀπίσω οὐχ ὁπλά.
Ἀψιχόρως. εὐμετάβλητος. ταχέως χορούμενος.
Ἀψοφητὶ. ἠρέμα. ἡσύχως. ἄνευ ψόφου.
Ἄψ. πάλιν.
Ἄωρον. ἀπρεπές. ὥραν μὴ ἔχον. καὶ τὸ ἀπερρημένον ὥρα γὰρ καὶ ὁ καλλωπισμός.
Ἀωρία. σκοτία. μεσονύκτιον. ἄπρακτος ὥρα.
Ἀωρτο. ἐκρέματο.
Ἀωρτεύειν. ὑφαίνειν.

# Ἀρχὴ τοῦ Β στοιχείου.

Βαβαὶ. θαυμαστικὸν ἐπίρρημα.
Βάβαξ. ὁ λάλος. ἢ ὁ βακχευόμενος.
Βάζει. βοάζει. λέγει.
Βάθρων. θεμελίων.
Βαιὴν. ὀλίγαν. μικράν.
Βαθυδίνης. ἐν βάθει τὰ ῥεύματα ἐχούσης.
Βαθυλήϊσιν. σιτοφόροις πεδίοις.
Βαθυγλώττους. εὐλογήμους.
Βαθοῦς. τὴν ὑπήνην. βαθοῦς τὸν πώγωνα.
Βαίνειν. βαδίζειν. περιπατεῖν.
Βαιὸν. ὀλίγον. μικρόν.
Βακχεύοντες. μαινόμενοι. ὀρχούμενοι. μεθυσκόμενοι.
Βαθμὸς. βάσις. στάσις. ἢ καμπτὸς
Βάθρον. ἐν ᾧ ἐστι βαίνειν. ἢ βῆμα. ἢ θεμέλιος. ἢ κλίνη.
λέγεται καὶ βάθρα θηλυκὸν ἐπὶ βάθρας ἐπὶ βάσεως.
Βάκηλος. ὁ ἀποτετμημένος τὸ αἰδοῖον. μέγας μὲν. ἀνό-
ητος δὲ καὶ γυναικώδης.
Βαλανεῖον. τὸ λουτρόν.
Βακχεύσασαν. ὀρχουμένην. πλανηθεῖσαν. ἐξεστηκυῖαν.
Βακχευθεῖσα. ἐξεστηκυῖα. ἐξηχωμένη.
Βαλλάντιον. παρὰ τὸ βάλλειν. ἐστι δὲ σταθμὸς τὸ
βαλλάντιον. ὁ καὶ φόλλις δηναρίων ρν.

Βάπισμα. ἐν ᾧ βάλλεται ἤγουν πίπτει τὸ παῖσμα.
Βάλιος. ἵππος τοῦ ἀχιλλέως.
Βαλαντιοτόμος. κλέπτης.
Βάτραχος. ὁ βοὴν τραχεῖαν ἔχων.
Βάλλεται. σημαίνει τὸ τοξεύεται. βολὴ γὰρ κυρίως ἡ ἀπὸ τοῦ τόξου πεμπομένη.
Βασανίζειν. ἐξετάζειν.
Βαλάδες. δεσμωτήρια.
Βαλμός. σῆθος.
Βαλβίς. βαθμός. ἢ βάσις. ἢ χαμηλός. λέγεται δὲ καὶ ἡ πρώτη ἔξοδος τῶν δρομαίων.
Βαμβάνει. διστάζει. τρέμει τοῖς ποσὶ καὶ ἀσήμως φθέγγεται.
Βάναυσοι. αἱ διὰ χειρῶν μοχθοῦσαι τέχναι.
Βάναυσος. πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. βάναυσος γὰρ ἡ κάμινος.
Βαρυθυμεῖ. λυπεῖται. ὀλιγωρεῖ.
Βάραθρον. ὄρυγμα. χάσμα. χάος.
Βάρεις. πλοῖα. πύργοι. στοαί. τείχη. σφαῖραι.
Βαρακίνησιν. ἀκάνθαις. σκόλοψιν.
Βάρβιτον. ψαλτήριον. κιθάρα.
Βαρβαρισμός. παράτινος διάλεκτος σεσολοικισμένη.
Βασκαίνει. φθονεῖ. ζηλοῖ. μέμφεται.
Βάσιμος. πορευτική.

Βάσιμα. ἐπίβατα.
Βαςέρνιον. μωλάριον.
Βάσεις. ςηρίγματα. ψύαι γόνατα.
Βασιλεῖα. ἀττικῶς τὸν βασιλέα.
Βασιλὶς. ἡ τοῦ βασιλέως γυνή. ὡς καὶ βαλανὶς τοῦ
βαλανέως.
Βάσσαρος. ἀλώπηξ κατὰ ἡρόδοτον.
Βατὸς. βάσιμος. ἐν ᾧ τις ἐπιβαίνειν δύναται.
Βάςερνα. κιβούριον ἐκ ξύλων ὃ ἔχουσιν αἱ παρθένοι.
Βαττολογίαν. φλυαρίαν. λήρωσιν.
Βατταρίζει. φλυαρεῖ.
Βέλος. σαγίττα.
Βελόνη. παρὰ τὸ βέλος καὶ τὴν τούτου ὀξύτητα.
Βαῦνος. τὸ πῦρ. ἢ ὁ χυτρόπους. ἢ ἡ κάμινος ἔνθεν καὶ
βάναυσος.
Βεβλήκει. ἀντὶ τοῦ ἔβαλε. ῥῆμα ἅπαξ ἀντὶ τοῦ ἐνεργεῖ-
ται.
Βδέλλα. ἀττικοὶ βδέλλειν λέγουσι τὸ ἀμέλγειν. ἀμέλ-
γουσι γὰρ ἔοικεν ἡ βδέλλα ἐντὸς πᾶν τοῦ αἵματος.
Βέβαιος. κατ' ἀντίφρασιν ὁ ἑδραῖος καὶ ἀμετακίνητος.
Βεβαίως. ἐπίρρημα μεσότητος.
Βῆμα. βάσισμα. ἢ τόπος ὑψηλὸς δικαςοῦ.
Βίος. ἡ ζωὴ καὶ βιοτὴ προσαγορεύεται παρὰ τὸ βέω τὸ
πορεύομαι. τί γάρ ἐςι βίος; ἡ ὁδὸς καὶ ἡ πορεία.
Βδόλος. ἡ δυσοδία τοῦ λύχνου. καὶ ἡ πορδή.

Βειλοπες. ἱμάντες λῶρα.
Βδελυρός. μισητός. τοῦ μισῆσθαι ἄξιος.
Βδελυρά. μίσους ἄξια.
Βδέλλυγμα. δυσωδία.
Βέβηλος. μεμιασμένος. μυσαρός. ἀκάθαρτος. καὶ μιαρός.
Βεβύχει. ἤδραστο. πεπαγίωτο. ἀναβεβύχη.
Βεβυσμένα. κεκλεισμένα. πεφραγμένα.
Βεβῶς. βεβυκῶς.
Βεβριθῶς. βαρυνθείς.
Βεβουκόλημαι. πέπεισμαι. πεπλάνημαι. ἢ πάτημαι.
Βεβαίαν. ἀσφαλῆ. ἀμετάβλητον. ἀσάλευτον. διαμένουσαν.
Βίλεμνα. ξίφει. βέλη.
Βέμβιξ. ὁ στρόμβος καὶ ὁ τροχὸς ὃν οἱ παῖδες περιστρέφοντες καὶ παίοντες. ἱμᾶσι παίζουσιν.
Βένθεσι. βάθεσι.
Βέομαι. χρήζω.
Βλαμός. ψωμός.
Βητα. ὅτι ἐπιβέβηκεις δευτέραν γὰρ εἶχον τάξιν ὥσπερ δοχοῦ ἐπιβαίνειν.
Βία. παρὰ τὸ ἶς ὃ σημαίνει τὴν δύναμιν. ἶα καὶ βία
Βιοῦν. τὸ ἁπλῶς ζῆν.
Βιοτεύειν. τὸ καλῶς ἀναστρέφειν.
Βλάσφημος. παρὰ τὸ βάλλω βλάβη καὶ τὸ φημὶ γίνεται. βλασφημία. ὁ βλάβην λέγων. ἢ τὰς κακὰς φήμας κατά τινος βάλλων. ἤγουν ὁ λοίδορος.
Βῆλος. ὁ οὐρανός.

Βίβλος. διὰ τὸ τοὺς βίους βάλλεσθαι ἐν αὐτῇ. ἢ διὰ τὸ βαβαί. ἢ διὰ τὸ βέβαιον.
Βιος. παρὰ τὸ βία καὶ ἀνάγκῃ ζῆν.
Βιχεῖον. διὰ τὸ βία χέειν.
Βλάσκω. πορεύομαι.
Βλεμαίνων. ἐπιρωννύμενος.
Βληχῶ. τὸ βοῶ. βληχὴ δὲ. ποιὰ φωνὴ τῶν προβάτων.
Βιλὸς. ἡ φλιά. βατὴρ ὀδός.
Βιβάζει. συζευγνύει.
Βιημίζεται. περιαρθεῖ.
Βιοτῆς. ζωῆς.
Βλάκας. μωρός τις μὴ εἰδὼς τὰ πράγματα διακρῖναι.
Βλαισος. παραλυτικὸς. ἢ στρεβλόπους.
Βλαύρια. σανδάλια.
Βλίχημα. ἀσθενῆ καὶ ἰσχυρόν.
Βλίττειν. τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κυρίων.
Βήσεται. ἀποβήσεται.
Βλοσυρὸς. δεινὸς. καταπλήκτιος. φοβερὸς. χαλεπὸς. μανιώδης.
Βλοσυρῶπις. καταπληκτικοὺς ἔχων τοὺς ὀφθαλμοὺς.
Βλύδιον. ὑγρὸν. ζέον.
Βοήδιον. ὅτι βοὴν δίδει.
Βηλοῦ. βαθμοῦ.
Βηλὸς. φλοιά.
Βλωμὸς. στραβοί.

Βίκος. ἀγγεῖον. στάμνος ἔχων ὠτάρια.
Βοϊδραμεῖν. μετὰ σπουδῆς παραγίνεσθαι.
Βόμβος. ἦχος. κτύπος.
Βοονόμος. βοοβοσκός.
Βορὰν. τροφήν.
Βορῶν. στομάτων.
Βορρᾶς. βορέας. ἄνεμος ψυχρός
Βόστρυχοι. πλόκαμοι.
Βόσις. βόσκησις.
Βολβος. ὀφθαλμός.
Βόθυνος. βαθύς.
Βούλιμος. ὁ μέγας λίμος.
Βοτῆρες. ποιμένες.
Βόλβιτον. ἀφόδευμα βοός.
Βούπαις. νέος ἢ ἔφηλιξ.
Βούφαγος. πολυφάγος.
Βουλευτικῆς. φρονίμης.
Βουκόλος. καὶ βούτας ὁ τῶν βοῶν νομεύς.
Βύκινον. ὅτι τὴν βοὴν καὶ τὴν κίνησιν βοηκέναι.
Βόρβορος. παρὰ τὸ βορὰ. βορος. ἡ ἐκ τῆς βορᾶς κόπρος.
διπλάζει δὲ βορ βορός.
Βρυμῶν. ἀπὸ τοῦ μεγάλως ἐπᾶρθαι. τὸ γὰρ βου προ=
τασσόμενον. τὸ μέγα δηλοῖ.
Βούτυρον. τὸ ἐλαιῶδες τοῦ γάλακτος.

Βλίχανος. ὁ βάτραχος.

Βλίχας. σημαίνει τὸ φύλλον τῆς συκῆς.

Βιὸς. τὸ τόξον.

Βρόμος. ὁ τοῦ πυρὸς ψόφος.

Βουγάϊ. ὁ πάνυ γαβριῶν καὶ σεμνυνόμενος.

Βουλη. πρόθεσις. γνώμη καὶ βουλευτήριον.

Βουπλὴξ. πέλεκυς. μάστιξ ἢ βούκεντρον.

Βούβρωσις. λιμὸς μεγάλη.

Βοῶπις. μεγαλόφθαλμος.

Βραβεύει. διακρίνει. ἐπιψηφίζεται. διανέμει.

Βουνὸς. παρὰ τὸ βιαίνειν ἄνωθεν.

Βραχεῖς. ὀλίγοι.

Βραβεῖον. ἐπινίκιος ἀμοιβὴ. δόξα. λέγεται δὲ καὶ βα-
σιλικὸν σκῆπτρον.

Βραχῶς. τὸ συνεχῶς βρεχόμενον.

Βραχυπλεῖ. σύντομον μικρόν.

Βραβευτὴς. διοικήτης. κριτὴς. ὁριστὴς.

Βραχὺ. ὀλίγον.

Βραστῶν. βραδείων. ἀκαταστάτων. ἢ ζεόντων καὶ καιο-
μένων.

Βραχυθυμίας. βραδυλογίας. ἀργολογίας.

Βρεντήσιον. χωρίον τῆς ἰταλίας. εἴρηται δὲ οὕτως
ὅτι λιμένα ἔχει. κέρασιν ἐλάφου παραπλησίως βρεν-
δον δὲ τὸν ἔλαφον καλοῦσι μεσάππιοι.

Βρέτας. εἴδωλον. ἄγαλμα.
Βρίζειν. τὸ μετὰ τροφῆς κοιμᾶσθαι.
Βρενθύεται. μεγαλοφρονεῖ ἐπαίρεται. λέγεται δὲ καὶ τὸ ὀργίζεται.
Βρέμοντι. ἀπειλοῦντι. ἠχοῦντι.
Βρεμέτο. μεγαλοφώνως ᾀδέτω.
Βρέφος. παρὰ τὸ φῶς εἰς βεβηκέναι.
Βρίθει. βαρεῖ.
Βριμαίνω. ὀργίζομαι.
Βριθωσύνη. βαρύτης.
Βριμάζων. τῇ τοῦ λέοντος χρώμενος φωνῇ.
Βρεμεῖ. ἠχεῖ. κτυπᾷ.
Βριαροὶ. ἰσχυροὶ. βάρεῖς. ἄγριοι.
Βρίζοντα. κοιμώμενον. νυστάζοντα.
Βριαρὸς. ἰσχυρὸς.
Βρόμιος. ὁ τοῦ πυρὸς ἦχος.
Βροτοσσόων. τῶν ἀνθρωπίνων.
Βρόγχος. ὁ φάρυξ.
Βρόχος. τὸ σχοίνιον τῆς πνιγμονῆς ἤτοι τὸ δίκτυον τὸ πνίγον.
Βρότος. τὸ αἷμα παροξυτόνως.
Βροτολοιγὸς. ἀνθρωποκτόνος.
Βριθοσύνη. βάρος.
Βρεγμὸν. τὸ ἄκρον τῆς κεφαλῆς. ὃ ἔχουσιν οἱ παῖδες ἁπαλὸν.

Βρόμιος. ὁ Διόνυσσος.

Βροχή. διὰ τὸ βαρέως χέεσθαι.

Βρύει. ἀνθεῖ. φύει.

Βύνη. ἡ θάλασσα. καὶ ὄνομα θεᾶς.

Βρυάζει. θάλλει. ἢ τρυφᾷ. ἢ περιτρέχει.

Βρύχιον. βυθιζόμενον.

Βρυγμὸς. τρισμὸς ὀδόντων. ἢ μύλων ἀκόνησις.

Βρυχεται. μαίνεται. τοῦτο δὲ κυρίως ἐπὶ τοῦ λέοντος τάττεται.

Βρύον. μετοχικῶς τὸ χεόμενον. καὶ ἃ ἡ θάλασσα ῥίπτει ἔξω ἐχυρά.

Βρωμᾶσθαι. ὀγκᾶσθαι ἐπὶ τῶν ὄνων.

Βρωτὸν. τὸ βρω μέγα σημαίνει βρῶσιν. βροτὸν τὸ βρο μικρὸν τὸν ἄνθρωπον.

Βρωτὰ. βρώματα.

Βύζην. ἀθρόως πυκνῶς ἢ γέμως.

Βυκτάων. ἀφυσήτων.

Βύσσος. βυθός.

Βυσσῶσι. φράττωσι.

Βυρσοδέψης. σκυτεὺς. ὁ τὰς βύρσας ἀπαλύνων. σκυτοτόμος.

Βῶξ. ἰχθύου εἶδος.

Βωμὸς. δηλοῖ τὴν βάσιν τοῦ θυσιαστηρίου καὶ αὐτὸ τὸ θυσιαστήριον.

Βωμὸς. σημαίνει καὶ τὸ ἵδρυμα ἐφ' οὗ τὰς θυσίας ἐ=
ποίουν καὶ βάσιν τινα. εἴρηται δὲ ἀμφότερα παρὰ
τὸ βῶ. βάσεις γὰρ ὁ βωμὸς ἔχει τινας. ἀλλ' οὐ περιφε=
ρεῖς. ὡς ἡ ἑστία. τὸ δὲ ὅτι βάσις ἐστί τινος ὑψηλῆς
παρὰ τὸ βῶ. καὶ βηλὸς καὶ βαθμὸς καὶ βῆμα καὶ
βάσις καὶ βαλβὶς. ἧς πρότερον ἐπιβαίνομαι.
σημαίνει δὲ καὶ ἡ λέξις καὶ τάφον.

Βάσσινον. λευκόν.

Βῶς. βύρσα.

Βωμολόχος. ἱερόσυλος παρὰ τὸ λοχεῖν τοὺς βωμοὺς. ὅ
ἐστιν ἐνεδρεύειν.

Βωμολόχοι. τυμβωρύχοι ἱερόσυλοι τινὲς γὰρ ἐν τοῖς
βωμοῖς λοχῶντες τὰ τοῖς βωμοῖς προσφερόμενα.
ἤγουν τοῖς εἰδώλοις ἀπεσύλουν.

Βωμὸς. ἵδρυμα. τέμενος. ναὸς ἱερὸν.

## Ἀρχὴ τοῦ Γ.

Γάγγραινα. καρκῖνος. πάθος ὃ διαβρώσκει ὅλον τὸ
σῶμα

Γαιήοχος. ὁ κρατῶν καὶ περιέχων τὴν γῆν.

Γαργαρέων. ἡ καλουμένη σταφύλη. ἢ ὁ λάρυγξ.

Γαιῶν. χωρῶν ἐθνῶν.

Γανυμένη. εὐφραινομένη χαίρουσα.

Γαζοφυλάκιον. θησαυροφυλάκιον.

Γάλη. γαλαία.
Γαλουχεῖ. γαλακτοτροφεῖ.
Γαλοώνη. ἡ τοῦ ἀνδρὸς ἀδελφή.
Γαληνόν. ἤρεμον. ἡσύχιον.
Γαμφύλη. ἡ σιαγών.
Γαλαθηνεών. ὑποτίτθιον. ἀντὶ τοῦ ὑπομάζιον.
Γαμψώνυχες. ἐπικαμπεῖς ὄνυχας ἔχοντας.
Γαμήλιος. γαμικός.
Γάνυμαι. χαίρω.
Γαστρίζεσθαι. λαβρότερον τρέφεσθαι. καὶ ὡς ἄν τις εἴπου
ὑπὲρ τὴν χρείαν.
Γαύρω. μεγάλῳ ὑψηλῷ.
Γαργαλίζει. ἐρεθίζει αὐτὸ τοῦ σώματος ὥστε ἐμέσαι.
Γαστρίμαργος. μανιώδης τὴν γαστέρα μάργος.
Γαστριμαργία. ἐστὶν ἐπιθυμία ἀκόρεστος σιτίων.
Γάδειρα. τὸ ἄκρον τῆς λιβύης. οἱονεὶ τῆς γῆς δεῖρα
διὰ τὸ τέλος εἶναι τοῦ παντός.
Γάχινος. σισμός.
Γαυριᾷ. ἀγάλλεται. ἐπαίρεται. θρασύνεται.
Γάγγαμος. σημαίνει τὸ δίκτυον.
Γαγγαλίζω τὸ εἰς γελᾶν ἄγω.
Γεραιῖτα. γέρωσσα. γερόνια.
Γαμβρὸς. ὁ ἀνὴρ τῆς θυγατρός. γαμβρὸς δὲ λέγεται ὁ
γήμας. ἐπὶ τῶν οἰκείων τῆς γαμηθείσης.

Γαυλὸς. τὸ γαλακτοδόχον. ἀγγεῖον.

Γαρ. σύνδεσμος ἰσοδύ, τοῦ ὅτι.

Γάμμα. ὅ ἐστι δρεπανοειδές. καὶ ἅμα τὴν γῆν. ἤγουν θε=
ρίζει. ὥσπερ τὸ δρέπανον ὥσπερ καὶ ὁ τύπος τοῦ
γράμματος.

Γαμήλια. παρὰ τὸ γαμῶ γαμήσω γαμήλια. ὡς δειμῶ δει=
μήσω δειμήλια. καὶ ἀπὸ τοῦ κατοικῶ κατοικήσω
κατοίκησιν· καὶ κατοικεσίαν.

Γάμος. οἷον δάμος τις οὖσα ὁ δαμαστικὸς καὶ ὑποτακτι=
κὸς τῶν θηλειῶν. ὅθεν καὶ τὰς παρθένους ἀδαμάστους
λέγουσι. Γάμος.

Γαῦλος. ὁ ἐξ ἀλλοτρίων ζῶν. λέγεται δὲ καὶ τὸ σκάφος
διὰ τὸ κοῖλον καὶ πλεῖστα δέχεσθαι. ὡς φησιν ἡρό=
δοτος ἐν τῇ τρίτῃ ἱστοριῶν.

Γε. σύνδεσμος παραπληρωματικός.

Γαργάρεον. γάργανον λέγεται τὸ ἄκρον. ὅθεν καὶ γαρ=
γαρέων τὸ ὑψηλότατον τοῦ ἀνθρώπου τὸ πρὸ τοῦ
σώματος.

Γέραιος. ἀρχαῖος.

Γεραώτας. γεγεννημένους. ὑπάρχοντας.

Γερῶσα. γεγονυῖα. γεγανῶσα.

Γεγανωμένη. λελαμπρυσμένη

Γάνος καὶ γανῶ. ὅ ἐστι λαμπρύνω

Γεῖη. τῇ γῇ.

Γεννικῶς. γενναίως.

Γείωρας. ὁ ἐξ ἄλλου ἔθνους προσκολλώμενος ἢ προσρυόμενος.

Γείσιον. ἄκρον τοίχου. στεφάνωμα οἴκου.

Γελοῖον. καταγέλαστον.

Γεννάδαι. εὐγενέστατοι. γενναιότατοι.

Γενικὸν. ὅλον τὸ γένος. περιεκτικόν.

Γεγηθῶτες. χαίροντες.

Γέεννης. φάραγγος.

Γέρδιος. ὑφάντης

Γερουσία. τὸ ἄθροισμα τῶν γερόντων.

Γενέθλη. γενεᾶ.

Γενάρχου. πατρὸς. ἢ τοῦ γέννους ἄρχοντα.

Γεγωνότερον. ἐξακουστότερον. λαμπρότερον.

Γενεθλολογία. μαντεία περὶ τῆς γενέσεως.

Γενέθλια. ἡ δι' ἐνιαυτὸν ἐπιφοιτῶσα τοῦ τεθνεῶτος ἢ τοῦ βασιλεύσαντος μνήμη.

Γενειάδες. αἱ κατὰ τῶν γενείων γενόμεναι τρίχες.

Γενεὴ. ἡλικία νῦν.

Γενεοῖς. προγόνοις προτάττοις.

Γενέτειρα. μήτηρ ἐμποιητική.

Γένεσις καὶ γέννησις διαφέρει. γένεσις ἐστιν ἡ ἐκ θεοῦ πρώτη πλάσις. γέννησις δὲ ἡ ἐκ καταδίκης τοῦ θανάτου διὰ τὴν παράβασιν ἐξ ἀλλήλων διαδοχή.

Γένυσι. σιαγῶσι.

Γενέτη. τῷ πατρὶ. ἢ γενέσει.

Γένειν. ἀπὸ τοῦ τὰ γένη ἐξ αὐτοῦ διακρίνεσθαι ἀῤῥένων καὶ θηλείων. καὶ ἡλικίας τελείων καὶ ἀπλῶν.

Γεραίρων. δοξάζων

Γεωργός. ἀπὸ τοῦ τὴν γῆν ὀρᾶν. ἢ ἀπὸ τοῦ γῆν ἐργάζεσθαι

Γένυς. τὸ μέρος τοῦ προσώπου.

Γερήνειος. γέρων ἔντιμος.

Γεοῦχος. ὁ ὠκεανός. ὁ τὴν γῆν ἔχων καὶ κυκλῶν.

Γεραίροντες. τιμῶντες. εὐφημοῦντες.

Γεραιαρώτερος. ἐντιμότερος. πρέσβυς.

Γέφυρα. ἡ κατὰ τῶν ποταμῶν οἰκοδομία. δι᾽ ἧς οἱ ὁδοιπόροι πορεύονται.

Γέρα. τιμαί.

Γεόλοφος. γῆς ὕψωμα. ὄνειρος τόπος.

Γείνω. γεννῶ

Γεγενής. ὁ ἐκ τῆς γῆς ἔχων γένεσιν.

Γεννῆσαι. τοῦ τεκεῖν διαφέρει. τεκεῖν μὲν ἐπὶ μητρὸς τάσσεται. γεννῆσαι δὲ ἐπὶ πατρός.

Γέρον. οὐδετέρως. τὸ παλαιὸν ἢ τὸ ὅπλον.

Γέρων. ὁ εἰς γῆν ὁρῶν. ἢ ὑπὸ μεταφθορᾶς πορωσόμενος. ἢ τὸ γέρας ὁ σημαίνει τὴν τιμήν.

Γηγενῶν. τῶν τὰ γήϊνα ἐργαζομένων. καὶ ἁμαρτανόντων. καὶ πάντες δὲ οἱ ἄνθρωποι γηγενεῖς λέγονται. ὡς ἅτε τὴν ὑπόστασιν ἐκ τῆς γῆς ἔχοντες.

Γήθησεν. ἐχάρη.

Γηθόσυνος. περιχαρής.
Γῆθους. χαρας.
Γῆρυν. φωνὴν.
Γηρύω. φθέγγομαι.
Γηροβοσκεῖ. γηροτροφεῖ.
Γήτεια. χλορὰ κρόμμυα. ἢ ἀμπελόπρασα.
Γη. ἀπὸ γεώθεν. ἤγουν μὴ φέρεσθαι. ἀλλ᾽ ἀκίνητον ἔ=
χειν τὴν στάσιν.
Γηροκομεῖον. διὰ τὸ τοὺς γέροντας μένειν.
Γινεται καὶ γείνεται διαφέρει. γίνεται μὲν γὰρ ἐστιν ἀντὶ
τοῦ κατασκευάζεται. γείνεται δὲ διὰ τῆς ει διφθόγ=
γου τὸ γεννᾶται.
Γιγγλισμὸς. κιχλισμὸς γέλως ὅ ἐστιν ἀπὸ χειρῶν γαρ=
γαλισμος.
Γίγαρτον. τὸ ἔνδον τῆς σαφυλῆς.
Γίσιον. τὴν παραβολὴν μικροῦ τείχους.
Γλαφυρόν. τὸ κοῖλον καὶ ἔμπυρον. ἢ τὸ βαθὺ καὶ λαμ=
πρόν.
Γλαγγάζει. κρώσσει. πληρύσσεται.
Γλάγος. γάλα.
Γλαφυρωτέρων. βαθυτέρων. κοίλων.
Γλαυκὸς. λευκὸς ἢ μέλας.
Γλαυκῶπις. εὐόφθαλμος.
Γλαύξ. νυκτόβας. πτηνόν.
Γλεῦκος. τὸ ἀπόσαγμα τῆς σαφυλῆς. πρὶν πατηθεῖ.
Γλυὸς. ῥυπαρός.

Γαῦλοι. ποιμενικὰ ἀγγεῖα εἰς ἃ τὸ γάλα ἀμέλγουσιν.

Γλήνη. ἡ τῶν ὀφθαλμῶν κόρη.

Γλάριδες. οἱ κολαπτῆρες.

Γλίχεσθαι. τὸ ἐπιθυμητικῶς ποθεῖν. ἀπὸ τοῦ λίαν ἴχεσθαι καὶ ἐν πλεονασμῷ τοῦ Γ γλίχεσθαι.

Γλιχόμενος. ἐπιθυμῶν.

Γλίσχρος. ὁ λίχνος καὶ ἐπιθυμῶν τροφῆς.

Γλισχρὸν. τὸ κολλῶδες.

Γλουτοί. ἔνυγροι. τῆς κοτύλης οἱ κύκλοι. τουτέστι, ποτηρίου.

Γλυκύθυμος. ἁπαλόψυχος

Γλωσσαλγία. φλυαρία. ἀργολογία.

Γλωσσόκομον. θήκη λειψάνων ξυλίνη.

Γναθμοῖς. γνάθοις ἀκοαί. ἢ καὶ παρειαί.

Γναμπτάς. ἕλικας. τὰ καμφθέντα ψέλλια.

Γνόφος. συνεφεία. δεινὸς ἄνεμος.

Γνοῖεν. μάθοιεν.

Γνῶ. ἐπιγνῶ.

Γνόφος καὶ νεφέλη διαφέρει. γνόφος μὲν ἐστιν ὁ ἀχλυώδης καὶ ὀμιχλώδης σκότασμος. νεφέλη δὲ. τὸ ἐκ φωτοειδοῦς ἀέρος φεγγοβόλου λεπτότατον ὕφασμα

Γνῶσις σοφίας διαφέρει. γνῶσις μὲν ἐστι τὸ εἰδέναι τὰ ὄντα. σοφία δὲ. καὶ τὸ τὰ ὄντα γινώσκειν καὶ τὴν τῶν ἀντιπιπτόντων λύσιν ἐπίστασθαι.

Γνώμη. διαφορὰ σημαίνει. ποτὲ μὲν γὰρ δηλοῖ τὴν

παραίνεσιν. ὡς φησι ὁ θεῖος ἀπόστολος. περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω. γνώμην δὲ δίδωμι. ὅτε δὲ βουλὴν ὡς ὅτ' ἂν φησι ὁ προφήτης Δανιήλ. ἐπὶ τὸν λαὸν σου κατεπανουργήσαντο γνώμην. πότε δὲ ψῆφον· ὡς ὁ Δανιήλ. περὶ τινος ἐξῆλθεν ἡ γνώμη. ἡ ἀναιδὴς αὕτη. πότε δὲ ἐπὶ πίστεως. ἢ δόξης. ἢ φρονήματος. ἢ ἐλπίδος. καὶ ἁπλῶς εἰπεῖν. κατὰ ἑπτὰ σημαινόμενα λαμβάνεται τὸ τῆς γνώμης ὄνομα.

Γνύξ. τὸ γόνυ. ἐπὶ τὰ γόνατα.

Γνωστούς. ἀδελφούς.

Γνώριμοι. μαθηταί.

Γνωσιμαχεῖ. μετανοεῖ. μεταγινώσκει.

Γοερῶς. κατανυκτικῶς.

Γόης. κόλαξ. περίεργος. πλάνος. ἀπατεών. φάρμακος. μάγος.

Γνωστόν. φανερόν.

Γόμφοι. μύλοι. σφῆνες. ἄρθρα. δεσμά.

Γομφίου. ὀδόντος.

Γονορρυής. οὗ ἡ γονὴ φέρεται ἀκουσίως καὶ ἐρρέει.

Γοργός. εὐκίνητος.

Γονυπετεῖ. παρακαλεῖ. δέεται. τοῖς γόνασι κάμπτεται. ἔνθεν δὲ γουνάζομαι τὸ ἱκετεύω.

Γοῦν. τοίνυν.

Γόος. θρῆνος. ὀδυρμός.

Γναθμός. σιαγών.

Γραικοί. Ἕλληνες ἀπὸ τινος Ἕλληνος Γραικοῦ.

Γουνὸς. ὁ γόνιμος τόπος. καὶ εἰς φυτὸν γονὴν ἐπιτήδειος.
Γωρυτὸς. ἡ τοξοθήκη.
Γριπεὺς. ὁ ἁλιεὺς. καὶ γρῦπον τὸ δίκτυον.
Γράφεται. ἀντιγράφη. ἢ κατηγορεῖ.
Γραφὴ. καὶ ἐπίκλημα. κατηγορία καὶ ἔγκλημα.
Γραμματική. γράμμα τίκει. ἤγουν χωνεύει.
Γονεια. ἡ γένησις. γωνία δὲ ἡ τοῦ τοίχου. καὶ γουνεία εἶδος
ὀρνέου.
Γραῦς. τὸ διερρυηκὸς γύναιον.
Γρίφους. ζητήματα.
Γρομφὶς. ὗς. ἡ παλαία σαρόφα.
Γράσσων. μωρὸς ἀνόυσατος. λέγεται δὲ κυρίως ὁ ἐν τοῖς
τῶν προβάτων ἐρίοις συναγόμενος ῥύπος.
Γρύξαι. κράξαι. λέγεται δὲ καὶ τὸ μὴ φθέγξασθαι.
Γύαλον. τὸ κοίλωμα. κυρίως δὲ τὸ τῆς χειρός.
Γυνὴ. καινὴ γῆ.
Γρυπὸν. ὀξύρινα καὶ ἐπικαμπῆ.
Γυῖα. χεῖρας. γόνατα. καὶ τὰ λοιπὰ μέλη τοῦ σώματος
γυῖα λέγεται
Γυλλίον. ἀγγεῖον πλεκτὸν κανίσκιον ἐκ φοινίκων.
Γυμνάσια. οἱ τόποι ὅπου ἐγυμνάζοντο κυρίως ἐπὶ τῶν
ἀθλητῶν. ἡ ἱπποδρομία. ἡ κυνηγία. ἡ λουτρά.
Γυμνάσιον. εἰδωλίων.
Γύννις. γυναικώδης. ἀνδρόγυνος. μαλακός.
Γύρος. κύκλος. στρογγυλός.
Γυρὸς. ὀξυτόνως. ὁ κυρτός.

Γύψ. διὰ τὸ γυρεύειν τὰ ὕψη.

Γυνή. παρθένου διαφέρει. γυνὴ μὲν γὰρ καλεῖται κυρίως ἡ ἤδη ἀνδρὸς. πεῖραν εἰληφυῖα. παρθένος δὲ. ἡ μηδέ πω μιχθεῖσα ἀνδρός

Γωρυτὸς. ἡ τοξοθήκη.

Γουνῶ. ὁ ὑψηλὸς τόπος. γόνος μὲν βαρυτόνως τὸ γεγεννημένον. γόνος δὲ τὸ γεννητικόν.

Γάνυμος. φερώνυμος.

Γυνή. παρὰ τὸ γεννᾶν. ἡ γῆ ἐοικέναι ἐν τῷ σπείρεσθαι καὶ γεννᾶν.

# Ἀρχὴ τοῦ Δ

Δάδα καὶ δαῒς καὶ δαΐς. ἡ λαμπὰς λέγεται.

Δαδουχεῖ. λαμπαδουχεῖ. φαίνει.

Δάεις. χάεις.

Δαήμονες. ἔμπειροι.

Δαιτυμόνες. ἀρισηταὶ φίλοι. ἑσιάτωρ δὲ ὁ τὸν ἄρισον ποιῶν.

Δαῖτα. τὴν εὐωχίαν.

Δαίδαλα. τὰ ποικίλα παρὰ δαίω γινώσκω. οἱονεὶ ὁ πολυΐσωρ.

Δαίνυσθαι. εὐωχεῖσθαι.

Δαίτρον. τὸ μερισθὲν μερισόν.

Διαφρονος. συνετοῦ μεγαλόφρονος.

Δαιμόνιε. ἐπισημονικὲ. μακάριε.

Δαίω. καίω.
Δάκνω. τὸ σφόδρα τέμνω. καὶ κόπτω.
Δαίδαλα. κατασκευάσματα. ποίκιλα.
Δαίμων. σημαίνει ε. τὸν πάντα εἰδότα θεὸν. τὸν
ἀκάθαρτον. τὸν τεχνίτην. τὸν μακάριον. τὸν πλού=
σιον. τὸν εὐτυχῆ. καὶ τὸν ἀσέρα.
Δάσκιος. ὁ μεγαλόσκιος.
Δαὴρ. ἀνδρὸς ἀδελφός.
Δαΐξας. ἀπόψας.
Δαΐφρων. πολεμικῶν.
Δακρυῤῥοῶν. δάκρυα ῥέων. παρὰ τὸ δάκνειν.
Δακρυόεσσα. δακρυοῦσα.
Δάκτυλοι. παρὰ δράττεσθαι. ἢ δέκτυλοι δεκτικοὶ ὄντες.
ἢ δείκτυλοι. ἀπὸ τοῦ δι' αὐτῶν γίνεσθαι τὴν δεῖξιν.
Δαλὸς. ἄνθραξ. ἢ ξύλον κεκαυμένον. καὶ πεπυρακτωμέ=
νον. ἢ δαδίον ἡμίφλεκτον.
Δάμαρ. γυνὴ. γαμετή.
Δαμνᾶ. δαμάζει.
Δάπεδον. ἔδαφος.
Δασμολόγοι. μερισαὶ. φορολόγοι.
Δάκρυον. παρὰ δήκω τὸ δακάνω. δάκνυον καὶ δάκρυον
δακνομένης γὰρ τῆς ψυχῆς ἔρχεται τὸ δάκρυον.
Δάμαρτος. ἡ γαμέτη.
Δαήμων. ὁ ἔμπειρος.

Δαμασκὸς. πόλις συρίας παρὰ τὸν ἀντιλίβανον. εἴρηται ὅτι δαμάσων στρατιώων μετὰ διονύσου ἐκεῖσε σκηνὴν πηξάμενος. ἱδρύσατο ἐκεῖθεν θεοῦ ξόανον.
Δαίμων. ὁ πάντα γινώσκων. παρὰ δαίω τὸ γινώσκω. καὶ δαιτρὸς μάγειρος. ἀπὸ τοῦ δαίω τὸ μερίζω.
Διαφοινὸς. ὁ φόνιος. ὁ ἐρυθρὸς. ἢ μέλας. φοινὸν γὰρ τὸ μέλαν.
Δαιτυμὼν. ὁ μάγειρος.
Δατρεύειν. διαιρεῖν. μερίζειν.
Δίατας. μερισάς.
Δαίω. κοιμῶμαι.
Δασμοὶ. μερισμοί.
Δαρδάπτειν. λάβρως ἐσθίειν.
Δαρσάμενοι. μερισάμενοι.
Δαμασσάμενοι. μερισάμενοι.
Δασυπόδα. τὸν λαγωόν.
Δαψιλέστατος. ἄρκετος καὶ χορτασμένος. πολυπλέστατος λέγεται δὲ καὶ ἐπὶ ῥευμάτων καὶ ἐπὶ τῶν μεγαλοψυχέντων.
Δεδεῖσαι. φοβῆσαι.
Δέδειχα. ἔδειξα.
Δεδέγμαι. ἐδεγήθεν.
Δέδοκται. ἔδοξε. συνήρεσεν. ἐφάνη.

Δέδοικα. φοβοῦμαι.
Δεδιακῶς. δήσας.
Δειλος. ἀσθενής.
Δείλαιος. ἄθλιος. ταλαίπωρος. δυστυχής.
Δειλός. κακός. ἄνανδρος.
Δαιμόνων. φοβούμενος.
Δεισιδαίμων. ὁ δεδιὼς τοὺς δαίμονας.
Δείσας. φοβηθείς.
Δειμάμενοι. οἰκοδομήσαντες.
Δεῖνος. ὁ ψυκτήρ.
Δείμασι. φόβοις.
Δεῖπνον. τὸ παρ' ἡμῖν ἄριστον. μεθ' ὃ δεῖ πονεῖν. ἄριστον δὲ τὸ παρ' ἡμῖν πρωϊνὸν βρῶμα.
Δεινός. ὁ πονηρός. παρὰ δέος. δεινός καὶ δεινὸς ὁ φόβον δυνάμενος τοῖς ὑπεναντίοις ποιεῖν.
Δειρή. ὁ τράχηλος. κυρίως δὲ ἐπὶ τῶν τετραπόδων.
Δεῖν. ᾠήθην. ἀναγκαῖον ἐλογισάμην. δέον εἶναι ὑπέλαβον. δεῖν δὲ λέγεται τὸ πρέπον.
Δείνωσιν. δύναμιν. δεινότητα. συστροφήν
Δειμᾶν. οἰκοδομεῖν.
Δείναις. τὰ κοιλώματα τῶν ὑδάτων. καὶ ἐν τῷ βάθει ἰλιγγιώδεις συστροφαί.
Δαρθεῖν. καὶ καταδαρθεῖν. τὸ κοιμηθῆναι. παρὰ δρῶ τὸ ἐνεργῶ. οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσι.
Δεινοί. ἔμπειροι. σοφοί. ἱκανοί. πεπαιδευμένοι.

Δείνη. συστροφὴ ὕδατος

Δειμάλεος. εὐλαβής.

Δεῖν. δέον. χρή. προσήκει. ἀναγκαῖον.

Δεινὸς. πανοῦργος. ἱκανὸς. δαολάκωτος.

Δειφῶν. ζητῶν.

Δεινότατος. ὁ πάνυ φρονιμότατος. ἢ ὁ σοφὸς καὶ ἔμπειρος.

Δέησις. παράκλησις.

Δειναπαθεῖν. δεινῶς ἔχειν. χαλεπῶς ἔχειν.

Δεκατευτήριον. τελωνεῖον.

Δέει. τῷ φόβῳ.

Δέμας. τὸ σῶμα οἱονεὶ δεσμὸς τῆς ψυχῆς. ἢ παρὰ τὸ δεῖσθαι ἐν αὐτῷ τὰ μέλη.

Δείλης. περὶ τὴν δύσιν ἡλίου.

Δεσπόσυνος. ὁ δεσπότης.

Δεισάλεα. κοπρώδης. παρὰ τὴν δεῖσαν. δεῖσα γὰρ ἡ κόπρος.

Δείω καὶ δέω τὸ φοβοῦμαι.

Δεικτικῶς. τὸ δεικνύειν τινα.

Δειράδας. τὰ σήματα τῶν ὀρῶν. οἱ δὲ τὰς νάπας. οἱ δὲ φάραγγας. οἱ δὲ ὑψηλά.

Δεκτὸν. εὐπρόσιτον. εὐαπόδεκτον.

Δέλτος. βίβλος. πινακίδιον. πιτλάριον. χιδάριον.

Δέμνια. ἐγκοίτια. στρώματα.

Δενδίλλων. τοῖς ὀφθαλμοῖς διανεύων.

Δεξιός. ἀγαθός. ἐπιτήδειος.
Δεξιοῦται. προσάγεται. ξενοδοχεῖ. φιλοφρονεῖται.
Δέος. φόβος.
Δεόντως. πρεπόντως προσηκόντως.
Δέουσι. δεσμοῦσι.
Δέπας. ποτήριον οἷον δέχας τις οὖσα περὶ δέχεσθαι τὸ πόμα.
Δέρκειν. βλέπειν.
Δεδορκῶτες.
Δερρίς. κώδιον δερμάτιον ἢ τρίχινον ἱμάτιον. καταπέτασμα ἐπὶ ταῖς θύραις ταῖς αὐλίαις βαλλόμενον.
Δέλεαρ. τὸ τῷ ἀγκίστρῳ ἐπιτιθέμενον εἰς τὸ τοὺς ἰχθύας ζωγρεῖν.
Δεσπότης. ὁ δέος ποιῶν.
Δεύτατος. ἔσχατος.
Δέσποινα. ἡ δέος ἐμποιοῦσα.
Δέργματα. τὰ ὄμματα.
Δέρη καὶ δειρή. ὁ τράχηλος.
Δέλφαξ. ὁ γαλαθηνὸς χοῖρος.
Δαιτρός. ὁ μάγειρος.
Δευόμενοι. βρεχόμενοι.
Δέρσα. βύρσα.
Δευσοποιός. βαφεύς.
Δεῦρο. εἰς τοῦτον τὸν τόπον. κυρίως ὧδε καὶ ἐνταῦθα ἑρμηνεύεται. καταχρηστικῶς δὲ καὶ ἀντὶ τοῦ ἐλθέ.
Δεῦσαι. βρέξαι.

Δεῦρο. ἐπὶ τοῦ παρόντος.

Δεύω. τὸ χρήζω. ἐξ οὗ καὶ ἔδευσε τὸ ἔβρεξεν.

Δέρτρον. τὸ δέρμα.

Δηλονότι. παρὰ τὸ δῆλον ὃ σημαίνει τὸ φανερόν. καὶ τὸ ὅτι ὃ σημαίνει τὸ πάνυ. δηλονότι γὰρ ἐστι τὸ πάνυ φανερόν. τὸ δὲ ὅτι ἐπίρρημα ἐπιτάσεως.

Δῆθεν. ὡς δή φησί

Δηθαιῶνες. μακραιῶνες. μακρόβιοι.

Δήϊοι. πολεμικοί.

Δείξας. δαγκάσας.

Δηϊοτής. ἡ μάχη.

Δηλήμων. βλαπτικός.

Δηλοῖ. ὁράσεις. ἐνύπνια.

Δηλαδή. δηλονότι. φανερόν δή. ἀπὸ τοῦ δῆλον ὃ σημαίνει τὸ φανερόν. καὶ τοῦ δή συνδέσμου.

Δηλητήριον. φάρμακον ὀλέθριον. βοτάνη θανάσιμος. ἀντίδοτος. εἴρηται δὲ παρὰ τὸ δηλήσασθαι καὶ βλάψαι.

Δῆλος. φανερός.

Δηλῶσαι. φανερῶσαι. σαφηνίσαι. δεῖξαι. σημᾶναι.

Δῆμος. τὸ πλῆθος. δημὸς δὲ τὸ λίπος.

Δηρόν. τὸ πολυχρόνιον.

Δηώσας. πορθήσας. χειρωσάμενος.

Δηῶ. κόπτω.

Δημηγορῆσαι. ἐν δήμῳ λαλῆσαι.

Δημοθέστερον. ἀχημονέστερον. διὰ τὸ ἐν ὄψει πάντων γίνεσθαι
παρὰ τὸν δῆμον.
Δημαγωγός. ἄρχων ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν.
Δημήτριος. ἱκανὸς ἐνδιῶξαι.
Δημιουργὸς. τεχνίτης. χειροτέχνης. ὁ τὰ μὴ ὄντα ποιῶν.
Δημοτελῆ. δημοσίαν.
Δημοθοινία. τοῦ δήμου εὐωχία.
Δημοφελὴς. τὸν δῆμον ὠφελῶν.
Δήμωσις. ἁρπαγή.
Δήμαρχον. τὸν ἐνεχυριστήν.
Δήξομαι. λυπήσω.
Δεινάριον. νόμισμα. παρὰ τὸ τὰ δεινὰ αἴρειν.
Δηοῦν. πορθεῖν. κόπτειν. καταστρέφειν.
Δήνεα. βουλεύματα.
Δήπουθεν. δηλονότι. λέξις συναπτική.
Δῆριν. μάχην. ἢ ἔριν.
Δῆτα. οὕτως ἢ λοιπόν.
Δηώσαντες. παιδεύσαντες.
Διαφέρει. προάγει. ὑπερέχει.
Διακωδωνισθέντες. διαφημισθέντες. ὡς ἐπὶ τὸ πλεῖστον
δὲ ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.
Διαπορθμεύων. διακομίζων. διαβιβάζων. ἐκ μεταφορᾶς
τῶν πλοίων.
Διαφερόμενος. ἀμφιβάλλων.
Διαπρύσιος. μέγας. διαβόητος. ἐξάκουστος.

Διαβόητος. καὶ ἐπιβόητος διαφέρει. διαβόητος μὲν γὰρ ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. ἐπιβόητος δὲ ὁ μοχθηρὰν ἔχων φήμην.

Διαίρεσις. ἀπὸ τοῦ διαιρεῖν καὶ διαχωρίζειν τόδε καὶ τοῦδε.

Διαμπὰξ. διόλου. διηνεκῶς. διὰ παντὸς. ἐξεναντίας.

Διαρτῆσαι. διαμερίσαι. ἢ συναρμῶσαι.

Διάττουσι. διατρέχουσι.

Δίαιτα. βρῶσις. τροφή. εὐωχία.

Δίαιτα. παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἰέναι. οὕτως καὶ διαιτητής. σημαίνει δὲ τὴν διαγωγὴν καὶ τὴν κρίσιν.

Διάλεκτος. ἤτοι καθ' ἣν ἕκαστοι ἄνθρωποι διαλέγονται πρὸς ἀλλήλους κατὰ τὴν ἰδίαν συνήθειαν. ἢ ἀπὸ τοῦ διαλέγεσθαι καὶ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων ἑκάστης γὰρ αὐτῶν διακέκριται τῆς ἑτέρας. ἀπὸ τούτων διειλέχθαι ὡς κρατιστευούσαν.

Διακορεῖς. πεπληρωμένοι. μεμεστωμένοι.

Διαθήσεται. τιμωρήσεται. κολάσεται.

Διακρούεσθαι. ἐξωθεῖν. ἢ ὑπερτίθεσθαι καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι.

Διατείνεται. φιλονεικεῖ. ἢ διαβαιοῦται.

Διακραδαίνει. διασείει.

Διακηρυκεύεται. διὰ κηρύκων συνθήκας ἢ πρεσβείας ποιεῖται.

Διάκονος. παρὰ τὸ κονεῖν τουτέστι δουλεύειν.
Διάκτωρ. λόγιος.
Διάμησεν. ἐθέρισεν. ἔκοψεν.
Διαφερόντως. ἐξαιρέτως.
Διανηξάμενοι. κολυμβήσαντες.
Διακυκῶσι. διαταράττουσι.
Διαπληκτίζονται. μάχονται.
Διαῤῥήδην. μεγαλοφώνως. φανερῶς.
Διαστείχοντες. διατρέχοντες. διαπορευόμενοι.
Διαθέων. διατρέχων.
Διαφωνοῦντες. μὴ συμφωνοῦντες.
Διαῤῥεῖν. διαχεῖσθαι. χαυνοῦσθαι.
Διαπτάντος. διαπετασθέντος.
Διαρκῶς. διαρκούντως. δαψιλῶς.
Διανεῖσθαι. διαβῆναι.
Διαπεράνας. τελειώσας.
Διαπυνθάνεται. ἐρωτᾷ.
Διαπαρατριβίαι. ἐνδελεχίαι.
Διαπειρᾶται. διακεντᾶται. διατιτρᾶται.
Διαδρᾶναι. διαφυγεῖν.
Διαρτίας. διαπλάστως.
Διακομισθεὶς. διαβασταχθεὶς. διελθών.
Διαρθροῖ. διαπλάττει.
Διαυγέστερον. φανερώτερον.
Διαρθρούμενον. ἀκριβούμενον. διατρανούμενον.

Διάνοια. ἡ ἐνθύμησις.
Διανίζεται. διανίπτεται. καθαίρεται.
Διακύσομαι. διαπτοήσομαι.
Διασκίδναται. διασκεδάννυται. διασκορπίζεται. διαλύεται.
Διασείει. διαπίζει.
Διεις. σημαίνει τὸ ἐκτείνας.
Διαδή. διάπτρ. διά γάρ τοῦτο δή.
Διάκτωρ. ὁ λόγιος. ὁ διαπλασίαν τὴν ἀρχὴν ἔχων.
Διαμαρτοῖ. ἀποτύχοι.
Διαρτῆσαι. ἀναπλάσαι. καταρτῆσαι.
Διασμύχων. διαζέων. διασπαράττων.
Διάθεσις. πολλα σημαίνει. τὴν ἀγάπην. καὶ προαίρεσιν
καὶ τὸ σχῆμα. καὶ τὴν ἐπιθυμίαν. καὶ τὴν τιμωρίαν.
καὶ κόλασιν.
Διαπύρω. θερμῇ ζεούσῃ.
Διάπυρος. ὁ ἐκκαυστικός. ὁ ἐκκαιόμενος τὴν ψυχήν
Διάττειν. ὁρμᾶν. διατρέχειν. ἢ δακνειν.
Διδάσκαλος. ὁ διδοὺς καλόν. ἢ ὁ διδάσκων καλά.
Διεὶς. σημαίνει τὸ ἐκτείνας.
Διασεσοβημένος. πταραγμένος. ἄτακτος. τεθορυβημένος
Διαθήκη. διχῶς ἐκφωνεῖται. ἡ μὲν ἐπὶ θνησκόντων διατά-
ξεως καὶ ἐνταλμάτων χαρακτῆρα φέρουσα. θα-
τέρα δὲ συνθήκων ἐπὶ διαλλαγῇ πολεμίων συνομοσίαν
ἔχουσα.
Διαχειρίζεται. φονεύει.

Διαβαίνει. διαπερᾷ. κυρίως δὲ ἐπὶ περάσεως ποταμῶν εἴρηται.

Δίαυλος. μέτρον πηχῶν διακοσίων.

Διάνοια γνώμης διαφέρει. διάνοια μὲν ἐστιν διχοστατοῦσα καθ' ἑαυτὴν καὶ μὴ τὸ βέβαιον ἔχουσα κατὰ βουλεύεσθαι. καὶ διανόια ἐκλήθη διὰ τὸ δισσά τινα βουλεύεσθαι. γνώμη δὲ. ἡ τὸ βέβαιον ἐν ἑαυτῇ καὶ ἀσφαλὲς ἔχουσα. καὶ οἱονεὶ μετὰ τοῦ διαγινώσκειν τι ποιοῦσα. διὸ καὶ γνώμη ἐλέχθη. καθότι γινώσκει τι ποιεῖ.

Διαιρεῖται. διαμερίζεται.

Διαχωρεύεται. θεσπίζει. ἀγγέλλει.

Διάχυσις. χαρὰ τέρψις.

Διὰ κενῆς. εἰκῆ. ματαίως.

Διάγνωθι. νόησον

Διάμετρον. τὸ ἀπὸ πέρατος εἰς πέρας διάστημα.

Διύῤῥειν. ὑγραίνειν.

Διαβούλια. ἐπιθυμήματα.

Διαῤῥυῆναι. διαφθαρῆναι. διαφανισθῆναι.

Διὰ τέλους. διαπαντός.

Διαπεφωνήκαμεν. ἀπολώλαμεν.

Διαδύς. διακριβεύς. διαλαθών.

Διαδράς. διαφυγών.

Διακρίνεται. ἀμφιβάλλεται. ἀπιστεῖ. διαχωρίζεται.

Διάστασις. χωρισμός.

Διακλῶν. διαθρύπτων

Διάζευξις. διαχωρισμός.

Διαγγελλεῖ. ἀπαγγελλει. κηρυχθεῖ. διαδραμεῖ.

Διαθέχομαι. ἥδομαι. εὐφραίνομαι.

Διαπρέψας. λαμπρὸς. φανείς.

Διασκεδάζω. ἔστι ῥῆμα χέω καὶ σημαίνει τὸ σκορπίζω. καὶ ἐξ αὐτοῦ γίνεται χεδάζω καὶ πλεονασμῷ τοῦ σ χεδάζω καὶ κεδάζω. καὶ μετὰ τῆς διὰ προθέσεως. διασκεδάζει.

Διατμήξας. διατεμῶν. διακόψας.

Διενήνοχε. διαφέρει παραλλάττει.

Διάφορος. διαφορὰ καὶ διαφέρεσθαι διαφέρει. διάφορος ὁ ἐχθρὸς. καὶ διαφορὰ ἡ ἔχθρα καὶ ἡ διαχώρησις. καὶ διαφέρεσθαι τὸ ἐχθρωδῶς διακεῖσθαι.

Διαφθορὰ. θάνατος.

Δίδραγμον. συντέλεσις εἰς φορὰ λειτουργία. ἔχει δὲ τὸ δίδραγμον γράμματα ἕξ.

Δίεισι. διέρχεται.

Διείργυς. κεκωλυμένους.

Διελων. διαμερίσας.

Διέπει. διοικεῖ.

Δίειμι. διέρχομαι

Δίεπ. ἀκολούθη.

Διέξεισι. διέρχεται

Διευκρινηθὲν. τὴν δέουσαν δοκιμασίαν. δεδοκιμασμένον σαφὲς. φανερώτερον.

Διεχεῖτο. διεχέετο. ἐχέετο.

Διεσμιλευμένως. ἠκριβωμένως. περικεκαθαρμένως.

Διεπεραίνετο. ἠνύετο. εἰς πέρας ἤρχετο.

Διετεχνήσατο. ἐμηχανήσατο.

Διευκρινηθείη. διαλεχθεὶ. σαφῶς διατρανωθείς.

Διέθει. διεθέεν. διήρχετο.

Διειδέστερον. διαυγές. λαμπρότερον.

Διεῖσαι. λάμπουσαι. εἰσβάλλουσαι τοῖς διαφεξάτοις.

Διεσκευασμένοι. ἔνοπλοι ξιφήρεις εἰς πόλεμον ἕτοιμοι

Διέξοδος. ὅθεν ἐκπορεύεται τις.

Διελέσθαι. σκῦλα. διαμερίζεσθαι πραῖδαν.

Δίκη. ὁ τρόπος.

Διεκόρησε. διέφθειρε παρθένον.

Διεξιὼν. λέγων. διηγούμενος.

Δίκαιος. διὰ τὸ διακρίνειν τὸν λογισμὸν δικαίως.

Δικαιοσύνη. ἡ διαχωρίζουσα ἡμᾶς τῆς ἀδικίας

Διεξοδικῶς. πλατέως. καὶ διεξοδικῶς ὁ διογκώμενος.

Δι᾽ εὐφρόνης. διὰ τῆς νυκτός.

Διεψεύσθη. ἐσφάλη.

Διελευσόμεθα. παρελευσόμεθα.

Διέστη. διεχωρίσθη.

Διελεῖ. μερεῖ.

Διεσάφησαν. ἑρμήνευσαν.

Δι᾽ ἔνδειαν. φρενῶν. δι᾽ ἀφροσύνην.

Διεξόδους. διόδους. διεκβολάς.

Διεντύξεως. διπαρακλήστως.
Διεπρίοντο. ἐθυμοῦντο ἔτριζον.
Διήλασεν. ἐπέρασεν. εἰσῆλθεν.
Δίεται. διέρχεται.
Διιέναι. διελθεῖν.
Διημέρευσεν. πᾶσαν ἐποίησε τὴν ἡμέραν
Διηθεῖται. ἀφυλίζεται.
Δίερος. τὸ ὑγρόν.
Διηνέχθη. διεφώνησεν. ἐμαχέσατο.
Διήρκεσε. παρέμεινε. διέμεινε.
Διήρτησαι. πλάσαι. κατασκευᾶσαι.
Διηνεκές. τὸ ἐπιμηκὲς καὶ ἀδιάληπτον.
Διαμαρτών. ἀποτυχών.
Διακρίνειν. διαχωρίζειν.
Δίσκος. παρὰ τὸ δίκειν καὶ ῥίπτειν καὶ περιττεύει τὸ σ.
Διστάζαι. τὸ δισσῶς βουλεύεσθαι.
Διΐσαται. διαχωρίζεται.
Διόπτρα. κάτοπτρον. καθρέπτιον.
Δικτάτωρ. ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων. ὃς παρὰ
ῥωμαίοις σισυσίπατος καλεῖται.
Δίκορσον. διακόρυφον.
Διγέστων. φανερῶν. διατυπωμάτων.
Δίκηλον. ἐκτύπωμα. ὅμοιον ἀδρίας ζῴδιον.
Δινάριον. ξ ἀσσάρια.

Διώρυξ. ὀχετός.

Διακτῖον. διάκονος.

Διακυστή. χαγκελλοτή.

Διακρανὲς. δικέφαλον.

Διοπετὲς. ἐξ οὐρανοῦ κατερχόμενον.

Διωρίζετο. διεβεβαιοῦτο.

Διοίσει. παραλλάξαι ἢ κάλλιον ἔσαι καὶ διοίσει συμφέρει

Διορίαν. προθεσμίαν. ἐὰν δὲ διὰ τοῦ ω μεγάλου καιρὸν δηλοῖ.

Διοριστέον. διαχωριστέον.

Διολλύει. ἀπολλύει.

Διόροφα. δίστεγα. ὄροφα καὶ ἡ στέγη.

Δῖος. εὐγενέστατος.

Διοπτήρ. οἰκονόμος.

Διπλοΐδα. διπλουμένην χλανίδα ἐν τῷ φορεῖσθαι.

Δίπλαστον. διπήδητον.

Δίρασι. φθεῖρες.

Διστάζει. ἀμφιβάλλει.

Δισσὰ. διπλὰ. διπλά.

Διυλισθὲν. σειροθὲν.

Διφασίας. διλογίας. ἐκ τοῦ μὴ συμφωνεῖν τὰ λεγόμενα.

Διφῶν. ζητῶν. ψηλαφῶν.

Δινωτή. ἡ περιφερὴς τοῦ Δίνω ὅ ἐστι τόρνω.

Δῖνος. τόρνος.

Διχόνια. διχοστασία.

Δίφρος. τὸ ἅρμα. παρὰ τὸ δύο φέρειν καὶ ἔχει τις ἅρμα ἢ καθιστήριον.

Διχοτομήματα. τμήματα.
Διάκτορος. διάκονος.
Διφυής. δύο φύσεις ἔχων.
Διχομηνία. πεντεκαιδεκαταία τῆς σελήνης ἢ τοῦ μηνός.
Διφθέραν. ὅσα κατ᾽ ἐλλήνην δίπτυ φέρεται. τὴν διφθέραν τὸ γραμματεῖον. ἢ βιβλίον ἢ βύρσαν. ἢ δέλτον. οἷον δύο φέρειν. τὴν ἐν τοῖς δύο μέρεσι φέρουσαν τὰ γράμματα.
Διφθέρα. τὸ ἐκ δερμάτων αἰγῶν ἱμάτιον.
Διχηλοῦν. δύο ὁπλὰς ἔχων.
Διχόθεν. ἐκ δύο μερῶν.
Διχονία. λογισμῶν φιλονεικία περιεργίαν.
Διοπνσάτωρ. οἰκονόμος.
Δίσκος. λίθος τετριμμένος.
Δίψην. δίψαν ἀττικῶς.
Διωκισμένον. κεχωρισμένον.
Διόμνυται. ὀμνύει.
Διοσάμενοι. ἐκβαλόντες.
Διονύσιος. διακεκριμμένος.
Διόνυμον. διαβόητον ὄνομα.
Διωλύγιον. θρηνητικῶς ἔχων ἐπὶ πολύ. ἢ καὶ μεγάλως φωνῶ.
Διομολόγει. σαφῶς ὁμολόγει.
Διορρυχή. διάνοιξις τοίχων ἢ χωμάτων ἢ πομάτων.

Δίωκε. ζήλου. ἐπιτήδευε.
Δμώη. γύνη μεγάλη.
Δμωος. δοῦλος.
Δμωῒς. θεραπινὶς δούλη.
Δνοφερὸν. σκοτινὸν. τὸ μέλαν. ὅ ἐστι τὸ ὕδωρ.
Δόιημεν. δώημεν.
Δογματίζει. θεολογεῖ. ἤ φυσιολογεῖ.
Δοιαὶ. δύο.
Δοίης. παράσχης.
Δοκίδων. δοκων. καλοῦνται δὲ καὶ ἐπιθετικῶς καί τινες τῶν ἀστέρων δοκίδες.
Δόκωσις. στέγη.
Δοκέων. νομίζων.
Δόκησις. τὸ μὴ ὄν. νομιζόμενον δὲ ἐστι. φαντασία καὶ σκιὰ καὶ ὄναρ.
Δόγμα. ψήφισμα.
Δορίκλυτον. ἔνδοξον. μετὰ δόρατος.
Δοξούμενοι. καποπριζόμενοι.
Δοκῶ. τὸ νομίζω καὶ ἐπιτηρῶ.
Δοκεῖ. οἴεται. νομίζει. ὑπολαμβάνει.
Δολιχόσκιος. μεγάλην ἔχων σκιάν.
Δόλοψ. κατάσκοπος.
Δόλιχον. μακρὸν ἤ πολύν.
Δόμα. δόρημα.
Δόμον. οἶκον.
Δόναξ. κάλαμος ἁλιευτικός.

Δονεῖ. ταράσσει. κινεῖ. κτυπᾶ.
Δοξάριον. δόγμα. δόξα ὑποκοριστικῶς.
Δόξαν ἑλεῖν. δόξαν λαβεῖν.
Δόξῃ. τιμῇ. εἴρηται. δὲ καὶ ἀντὶ τοῦ ὅπου ἀρέσει.
Δορά. δέρμα.
Δόρπος. δεῖπνον.
Δορυμήστορας. τοὺς ἐμπείρους τῶν πολεμικῶν.
Δόρατα. ξίφη. λογχάρια.
Δορυάλωτος. αἰχμάλωτος. ὑποδόρατος ληφθείς. δόρυ
γὰρ ἡ αἰχμή. λέγεται ἀντὶ τοῦ ξίφους.
Δορικτήτους. μετὰ δόρατος κτηθέντας.
Δορυφόρος. ὑπασπιστής. ὁπλοφόρος.
Δόρποις. δείπνοις. ὀψώνοις.
Δορυφορούμενον. ὀψιχευόμενον.
Δοτήρ. χορηγός. παροχός.
Δοξοκοπία. κενοδοξία.
Δοχμήν. σπιθαμήν. δοχμὴ λέγεται ὁ πρατεῖα. τῇ χει-
ρὶ μετρούμενον. ποιεῖ δακτύλους πέντε.
Δοῦπος. ψόφος. ἦχος. κτύπος.
Δοῦρα. ξύλα.
Δόχμην. ἄριστον δεξίωσον.
Δράσει. ἐνεργήσει πράξει
Δραστηρίως. ἐνεργῶς.
Δραχμὴ. τὸ λεπτὸν νόμισμα.
Δρασμός. φυγή.

Δρῶσα. ποιοῦσα.
Δράμα. πράγμα.
Δρασαι. πράξαι. λέγεται δὲ δράμα καὶ τὸ τῶν θεατρι-
κῶν μιμήλως γινόμενον. ὡς ἐν ὑποκρίσει δῆθεν
καὶ τὰ ἐκ συσκευῆς καὶ κακουργίας δρώμενα.
Δρυφάκτους. τοὺς κιγκλίδας.
Δροίτη. ἡ πύελος. οἱ δὲ τὴν σκάφην ἐν ᾗ τιθένηνται τὰ
βρέφη.
Δραίνω. ἰσχύω
Δράγμα. ὅσον περιλαμβάνει τῇ ἀριστερᾷ χειρὶ ὁ θερίζων
Δραστικὸν. ἐνεργητικόν.
Δραξάμενος. κρατήσας. ἐπιλαβόμενος.
Δραστήριος. πραγματικώτατος.
Δρὴξ. στρουθός.
Δρεπόμενοι. διηνεκῶς λαμβάνοντες. ἀπολάυοντες. τρυ-
γῶντες.
Δρεπανηφόρος. ξιφηφόρος.
Δραχμὴ σταθμὸς ὀβολῶν ἕξ. ἢ εἶδος μέτρου ἀντὶ νο-
μίσματος
Δρεφθῆναι. τρυγηθῆναι.
Δρέψασθαι. τρυγῆσαι. λαβεῖν.
Δρέπεται. θερίζει. τρυγᾷ. ἢ ἀπανθίζει.
Δριμὺς. ὀξὺς. λάβρος.
Δρῖμα. ψῦχος. παγετός.
Δρομάδην. μετὰ δρόμου.

Δρύφακτοι. τὰ διαφράγματα. ἢ τὰ περιτειχίσματα. τουτέσι ξύλινα κάγκελλα.

Δρῶσι. πράττουσι

Δρυμὸς. σύμφυτος τόπος καὶ σύνδενδρος.

Δρυπέτης. ὁ πέπηρος κάρπος τῶν δένδρων.

Δρωμενα. πραττόμενα.

Δύεται. δύνει. κάτεισι. κρύπτεται.

Δύειν. δυοῖν. τοῖς δυσί.

Δοιοῖν. θάτερον. τῶν δύο ἕτερον. ἢ τοῦτο ἢ τοῦτοι.

Δύμεναι. κατέρχεσθαι.

Δῦναι. εἰσελθεῖν

Δῦθι. ἔνδυσαι

Δυσκάθαρτος. ὁ ἀκάθαρτος. ἀντὶ τοῦ α.

Δυσήνεμον. τὸ κακοὺς ἀνέμους ἔχον. δυσάρακον.

Δυσαλθὲς. δυσίατον.

Δρυψελον. τὸ λέπισμα. ὁ φλοός.

Δυῤῥάχιον. πόλις νέας ἠπείρου. ἡ ὕστερον κληθεῖσα ἐπίδαμνος. πάλιν δὲ ἡ νῦν καλουμένη δυῤῥάχιον. ὅτι κατὰ τὸν τρόπον προσχώσεως ἄκρας γεωλόφου τὸ κῦμα προσπίπτον καὶ σχιζόμενον ῥαχίαν ποιεῖ μεγάλην. ὅθεν διὰ τὴν ῥαχίαν καὶ δύσορμος. δυῤῥάχιον ὀνόμασαν τὸν τόπον.

Δύσκολος. ὁ δυσάρεστος. ὁ δυσχερῶς τινι κολλώμενος τουτέσι μετὰ βίας.

Δυσμένεια. κακία. ἔχθρα.

Δυσαναχετεῖ. παραιτεῖται. βαρέως φέρει. δυσκόλως ἔχει.
Δύσεριν. φιλόνεικον. παρὰ τὸ δὺς ὅ ἐστι κακὸν καὶ τὴν ἔριν.
Δυσμενὴς. πολέμιος. ἐχθρὸς.
Δυσσεβὴς. ὁ ἀσεβὴς.
Δυσκάθεκτοι. δυσκόλως ἐπεχόμενοι καὶ ἀκράτητοι.
Δύσμοροι. ἄθλιοι. κακοθάνατοι. μόρος γὰρ ὁ θάνατος.
Δυσάλωτον. δυχερῶς κρατούμενον. ἢ λαμβανόμενον. ἢ ἀάλωτον.
Δυσωδία. ἡ ὀσμὴ. δυσοδία δὲ ἡ κακὴ ὁδός.
Δυσδιόρθωτος δυχερῶς διορθούμενος. ἢ ἀδιόρθωτος.
Δυσήνιοι. ἀπειθεῖς. δυσάγωγοι. δυσμεταχείριστοι. ἐκ μεταφορᾶς τῶν ἵππων. ἡνίαι γὰρ τὰ λῶρα τῶν χαλινῶν.
Δυσειδὴς. κακὸν εἶδος ἔχων καὶ ἄμορφον.
Δυσαρεστούμενοι. ἀπαρεσκούμενοι.
Δύστηνος. δυστυχὴς. ἄθλιος. ταλαίπωρος.
Δύσχρηστος. κάκιστος. εἰς οὐδὲν ἀγαθὸν χρήσιμον.
Δύσοιστον. δυσφόρητον. δυσυπομόνητον. ἀβάστακτον.
Δυστήνους. ταλαιπώρους. ἀθλίους ἢ ἀθλίας.
Δύσκλειον. ἀδοξίαν. κακοδοξίαν.
Δυσανάφοροι. βαρεῖς. καταχθονίζοντες. δυσκόλως ἀναφερόμενοι.
Δυσάλγητος. ἀσυμπάθητος.
Δυσήνυτος. δυσκατόρθωτος.
Δυσθήρατος. δυσεύρετος.
Δυσέκμαρτος. ἀναμάρτητον.

Δυσχερὲς. τὸ ὑπὸ τῶν χειρῶν ἐργαζόμενον εὐχερές.
Δυσώνυμος. κακώνυμος.
Δυσάντητον. δυσχερὲς ἐνάντιον.
Δυσέφικτον. δυσκατάληπτον.
Δυσδιάφικτον. δυσχερῶς διαφεύγων.
Δυσέξοιστον. δυσκατακόμιστον.
Δυσέρως. κακῶς ἐρῶν.
Δυστροπίαν. κακοτροπίαν. κακουργίαν.
Δυσχωρίας. τραχείας ἐνοδίας στενοχωρίας.
Δύσκωφος. ὁ ἐκ μέρους ἀκούων.
Δύσμηνις. βαρύθυμος. ὀργίλος. μνησίκακος.
Δύω. σημαίνει Γ. καὶ τὸ ἐνδύσασθαι ἱμάτιον καὶ τὸ
εἰσελθεῖν. καὶ δύω ἀνθρώπους.
Δωδωναῖος. Ζεὺς ὁ ἐν τῇ δρυῒ δωδώνῃ περὶ τὴν παλαιὰν
ἤπειραν τῆς ἑλλάδος.
Δωμάτιον. οἶκος. κέλλιον.
Δώμησις. οἰκοδομή.
Δωροδοκεῖ. δῶρα εἰδῶσι.
Δωρίζει. δωριστὶ λέγει.
Δωρτή. πορνευτή.
Δωτήρ. ὁ δώτης.
Δωτινή. ἡ δωρεά.

# Ἀρχὴ τοῦ Ε.

Εα. ἄφες. σημαίνει καὶ ἀγαθά.

Εάων. ὁ ἱερώτατος.

Εαγῶς. κατεαγῶς. τεθραυσμένος.

Εάγη. ἐθραύσθη. ἐκλάσθη.

Εαῖς. ἰδίαις.

Εάλω. ἐπλανήθη.

Εακότες. παρῃτημένοι. ἀποπεπαυκότες.

Εάλωσαν. ἐλήφθησαν. ἐκρατήθησαν. ἠχμαλώθησαν.

Εαλωκότων. ληφθέντων. παθέντων.

Εαλωκυῖα. ἐρημωθεῖσα. καταληφθεῖσα.

Εανὸν. λαμπρὸν ἱμάτιον γυναικεῖον.

Εαξεν. κατέαξεν. ἔκλασεν.

Εασκεν. ἤφιεν.

Εάται. καθέζεται.

Εασον. ἄφες. συγχώρησον.

Εαρτερὰ. ἐαρινὰ. λεπτὰ. ἁπαλά.

Εβαν. ἐπορεύθη.

Εαυτοὺς. καὶ ἀλλήλους διαφέρει. τὸ μὲν ἑαυτοὺς ἐπὶ τῶν καθ' ἑαυτοὺς λεγομένων τάσσεται. οἷον Αἴας ὁ τελαμώνιος καὶ Μαλνικὰς ὁ χραίων ἑαυτοὺς ἀπέκτειναν. τουτέστι ἕκαστος ἑαυτόν. τὸ δὲ ἀλλήλους. ἐπὶ τῶν συμπεπλεγμένων. οἷον Ἐτεοκλῆς καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν. τουτέστι ἕτερος τὸν ἕτερον.

Εαρ. ἀνατολῆς ὕψωμα

Εβραχίασεν. ἐκοπίασεν.

Εβαρυθύμησεν. ἐβαρύνθη τὴν ψυχήν. θυμὸς γὰρ ἡ ψυχή.

Εβδομάτη. ἑβδόμη.

Εβαρυώπησαν. ἀσθενεῖς ἐγένοντο τοῖς ὀφθαλμοῖς. ὦπαι γὰρ οἱ ὀφθαλμοί.

Εβίωσαν. ἔζησαν.

Εβόμβησεν. ἤχησεν.

Εβριξαν. ἐκοιμήθησαν.

Εβροτίων. σκωληκοβρότων.

Εβρυάζοντο. εὐφραίνοντο.

Εγαυριῶντο. ἐκαυχῶντο. ἐκόμπαζον

Εγαργαλίζον. ἐκίνουν. ὑπεσήμαινον. προὐτρέποντο.

Εγγιον. ἐγγύτερον.

Εγγυος. ἀνάδοχος.

Εγγυῶ. ἐκδίδωμι.

Εγγυαλίξαι. τὸ εἰς τὸ κοῖλον τῆς χειρὸς δοῦναι. γυῖα γὰρ λέγονται αἱ χεῖρες καὶ οἱ πόδες.

Εγγύη. ἡ ἐπὶ ἀσφαλείᾳ πίστις. καὶ ἡ δόσις τῶν χρημάτων.

Εγκατα. ἀπὸ τοῦ ἐγκατέχειν τὴν τροφήν. λέγει δὲ τὸ ἧπαρ καὶ τὴν σπλῆνα. καὶ τὰ περὶ τὸν πλεύμονα ἔντερον δὲ οὐκ ἔγκατον. τὸ ἔντερον οἷον ἕτερον καὶ οὐχ ὅμοιον.

Εγκομβώσασθαι. στολίσασθαι.

Εγκάρσιον. πλάγιον.
Εγκότος. ὀργίλος.
Εγκάθετος. κατάσκοπος δόλιος.
Εγγονα. διὰ μὲν τοῦ κ. γραφόμενα σημαίνει τὰ τέκνα
διὰ δὲ τῶν δύο γγ. τὰ τέκνα τῶν τέκνων.
Εγκέφαλος. παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ.
Εγχειρίδιον. τὸ ξίφος. παρὰ τὸ ἔγχος.
Εγκλητον. τὴν ἐπὶ σύνοδον παραίτησιν.
Εγχρὶς. γλύκασμα ἐξ ἐλαίου ὑδαρώδης.
Εγκλημα. αἴτιον. πταῖσμα.
Εγκρυφίας. ὁ ἐν ἀνθρακίᾳ γινόμενος ἄρτος ὁ ἐν σποδῷ
ἐγχοννύμενος.
Εγκοπὴ. ἔνεδρον. ἐμπόδιον
Εγκύκλιον. ἁπανταχοῦ καθολικόν.
Εγκωμιάζει. ἐπαινεῖ. καλῶς δοξάζει.
Εγγαστρίμυθος. ἡ ἐκ τῆς γαστρὸς μαντευομένη.
Εγκειται. ἐπίκειται. λίαν ἐπιθυμητικῶς διάκειται.
Εγκεντρωθεὶς. ἀσφαλισθεὶς.
Εγκότραφος. ἐγκρόταφος. ὁ ἀντικέφαλος.
Εγκονεῖν. τὸ σπουδάζειν. ἀπὸ τῶν τὴν κόνιν ἐγειρόν=
των ἐν τῷ σπεύδειν.
Εγκαλύπτεται. ὑποστέλλεται αἰσχύνεται.
Εγκατέσκηψαν. ἐπέδραμον ἐφώρμησαν. ἐπεδράξαντο.
Εγκρατῶς. καρτερῶς. φιλοσόφως.
Εγκριτος. ὁ ἐκλελεγμένος.

Εγχειρίδιον. τμητικὸν ὄργανον.
Εγχρίπτων. προσπελάζων. ἐγγίζων.
Εγκισσήσωσιν. ὀγχωθῶσι. συλλάβωσι. θυμωθῶσι.
Εγτήματα. ἃ κεκτηταί τις ἐν ἀλλοδαπῇ γῇ. τουτέστιν ἐν ξένῃ.
Εγώ σου ὀναίμην. ἐγώ σου ἀπολαύσω.
Εγῷμαι. ἐγὼ οἶμαι. ἀντὶ τοῦ ἐγὼ νομίζω. ὑπολαμβάνω.
Εγκυμονοῦσα. ἐρχομένη γεννᾶν.
Εδάϊσεν. ἐνώχλησεν.
Εδαφιεῖ. προσράξει. προσαρούσει τῇ γῇ.
Εδαίνυτο. ἤσθιεν.
Εδεῖτο. ἔχρηζεν.
Εδέησε. χρείαν ἔχεν. ἀνάγκη γέγονεν.
Εδεξιοῦτο. ἐδέχετο.
Εδος. γῆ.
Εγκόμβωμα. ὁ δεσμὸς τῶν χειρίδων.
Εἔνδωρ. τὸ ἐπιθύμημα.
Εδειξεν. ἔδακεν.
Εδαίετο. ἐκορέννυτο. εὐφραίνετο. ἢ ἐβρέχετο.
Εδρα. εἴρηται παρὰ τὸ ἕζω ἢ καθέρα. σημαίνει δὲ δύο. τὴν ξύλινον καθέραν εἴτις τύχοι. καὶ τὸν ἀφεδρῶνα τοῦ ἀνθρώπου.
Εδος. ἱερὸς ναός.
Εδεσιν. ἱερεῦς.
Εδέδμητο. ᾠκοδομεῖτο.

Εδέσματα. φαγία.
Εδείναζον. δεινῶς ἔφερον.
Εδέματο. ὠκοδέμησεν.
Εδει. ἐρχῆν. ἔπρεπεν.
Εδέγμην. ἐδεξάμην.
Εδηλήσατο. ἔβλαψεν.
Εδίζησα. ἐζήτησα.
Εδίνευον. ὠρχοῦντο.
Εδνα. τὰ ταῖς γυναιξὶ πρὸ τοῦ γάμου διδόμενα δῶρα ὑπὸ τοῦ ἀνδρός.
Εδονται. φάγονται.
Εδρα. θέσις. στάσις. καθέδρα.
Εδρα. ὁ ἀφεδρών.
Εδωδὴ. τροφή. ἤδυα.
Εδούπησαν. ἐψόφησαν. ἐκτύπησαν.
Εδρέψατο. ἐκαρπώσατο. ἐτρύγησε.
Εδραματουργήθη. ἐπράχθη. συνετέθη. δραματούργημα γὰρ τὸ σύνθεμα.
Εδρων. ἐτέλουν. ἔπραττον.
Εδριν. στάσιν. θέσιν. καθέδραν.
Εδραῖοι. σταθεραὶ ἀσάλευτοι.
Εδώδιμον. τρόφιμον. βρώσιμον. ἐδωδὴ γὰρ ἡ τροφή.
Εικασμένη. ὁμοιωθεῖσα.
Εζετο. ἐκαθέζετο.
Εζόμενος. καθεζόμενος.
Εζάνθη. ἐξηράνθη.
Εδρασαν. ἐνήργησαν.

Εθειραι. αἱ τρίχες τῆς κεφαλῆς.

Εῆς. ἰδίας.

Εήν. τὴν ἑαυτοῦ. τὴν ἰδίαν.

Εθαγενής. ἐγχώριος. ὁ ἐν τόπῳ γεγεννημένος.

Εηκεν. ἔπεμψεν.

Εήνδανεν. ἤρεσκεν.

Εην. ἦν ὑπῆρχε.

Εθαμβήθη. κατεπλάγη.

Εθελουσίως. ἑκουσίως. παρὰ τὸ θέλειν.

Εθελοντής. αὐτοβούλητος. αὐτοπροαίρετος. ἑκών.

Εθάδας. φίλους. συνήθεις.

Εθελοκακοῦ. ἑκουσίως. τὸ κακὸν ἐκλεγομένων. ἢ μὴ διωκόντων.

Εθελοκώφων. τῶν θελήσει παρακουόντων καὶ μὴ βουλομένων ἀκούειν.

Εθορεν. ἐπήδησεν.

Εθελοθρησκεία. ἐθελοθεοσέβεια.

Εθρόησεν. ἐφόβησε.

Εθελξεν. ἠπάτησεν. ἡδίστως προσλαλήμασι.

Εθεν. σοῦ. εἶδος προτότυπον.

Εθεεν. ἔτρεχε.

Εθοντες. ἐξ ἔθους ἐπιφοιτῶντες.

Εθρίσκευον. ἐτίμων. ἐσέβοντο. προσεκύνουν.

Εθραυσεν. ἔπαυσεν. κατέβαλεν. ὤλεσεν

Ειαδή. ἄγε δή.

Ειασεν. ἀφῆκεν.

Εια. συγχωρεῖ. ἢ συνεχώρει.

Ει. ὑπάρχεις. τὸ σὺ εἶ.

Εκιν. ἐπίρρημα ἀφοριστικὸν. ἤγουν εἰρημένον ἐπιλεγόμενον. περιορίζει γὰρ αὐτὰ καὶ σημαίνει ὅτι ταῦτα μὲν οὕτως.

Εαρινοῖς. τοῖς κατὰ τὸ ἔαρ.

Ειδω. τὸ βλέπω.

Ειαμένη. ὁ ἔνυλος βοτανώδης τόπος.

Ειασκεν. συνεχώρει.

Ειδω. τὸ γινώσκω. εἴδω τὸ ὁμοιῶ.

Ειβει. στάζει.

Ειβω. στάζω.

Ειγεμὴ. ἐὰν μὴ.

Ει γάρ. εἴθε γάρ.

Ειδεχθὲς. ἀπρεπές.

Ειδομένη. ὡμοιωμένη.

Ειδείειν. εὐχπινὸν.

Ειδαρ. βρῶμα.

Ειδυλις. ἐπιστήμων.

Ειδεχθεστάτη. ἀπρεπεστάτη ἄφος ἄμορφος μυσαρὰ σπαπριασμένη σαχαντή.

Ειζάνων. ἐγκαθίζων

Ειδίον. ἐὰν πρέπον.

Ειδω. τὸ γινώσκω καὶ ἐπίσταμαι

Ειδωλα. αἱ εἰς τὸ ἰδεῖν μόνον εἰκόνες.

Ειδος. σχῆμα. ἡ μορφὴ. καὶ ἡ θεωρία καὶ τὸ ἀπὸ τοῦ γένους διαιρεθέν.

Ειδως. γινώσκων. ἐπιστάμενος.

Ειδωλον. σκιώδες ἀφομοίωμα. τινὸς ἐστιν ἴνδαλμα καὶ ἐπείκασμα. ἐπειδὴ ἕλληνες ἀναπλάττουσι τὰς οὐχ ὑφεστώσας μορφάς. σφίγγας. τρίτωνας. καὶ κενταύρους. εἴδωλα λέγονται. τὰ τῶν οὐχ ὑφεστώτων εἰκάσματα. οἷον ἡλίου. σελήνης. ἄστρων. θηρίων. ἑρπετῶν. ὡσαύτως καὶ ζωδίων.

Ειδ᾿ ἄρτι νῦν. ἄρτι νῦν. ἄρτι.

Ειδ᾿ εἰπον. εἰδ᾿ ἀληθές.

Ειδεται. φαίνεται.

Ειδωμεν. μάθωμεν.

Ειδώμενος. ὁμοιωθείς.

Ειδεσθαι. ὁμοιοῦσθαι. φαίνεσθαι.

Ειη. γένοιτο. λέγεται δὲ καὶ ὑπάρχει.

Ειην. γενοίμην.

Ειθαρ δέ. εὐθέως δέ.

Ειθυτάτην. ὀρθοτάτην.

Εικειν. ὑποχορεῖν.

Εικῆ. ὡς ἔτυχε. μάτην. καὶ εἰκαίως. ματαίως.

Εικαιομυθῶν. ματαιολογῶν. μῦθος γὰρ ὁ λόγος.

Εικότως. πρεπόντως.

Ειχαθεν. ὑπεχώρησεν.

Εικος. εὔλογον. ἀκόλουθον. δίκαιον. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ τάχα.

Εικαιοβουλία. ματαιοβουλία.

Εικαῖος. μώρος μάταιος.

Εικελος. ὅμοιος.

Εἰκαιομυθῆναι. φλυαρῆσαι.

Εἰμί. ὑπάρχω.

Εἰκότα. πρέποντα.

Εἰκότα ἔφης. ἁρμόζοντα λέγεις.

Εἰκόσι. χαρακτῆρσιν. ὄψεσιν.

Εἰκών. λέγεται παρὰ τὸ ἐοικέναι τῷ ἀρχετύπῳ ἀπὸ τοῦ εἴκω εἴρηται τοῦ σημαίνοντος τὸ ὁμοιῶ. παρχθεῖσα εἴπη ὁσίου ὁσία. εἴπη ἁγίου ἁγία. καὶ τοσοῦτον γε ἔχουσα τὸ ἐοικός. ὡς καὶ τῇ τοῦ παραδείγματος ταυτίζεσθαι προσηγορία. εἰκών. παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. εἰκὼν δὲ καὶ εἰκώς. τὸ ὁμοίωμα.

Εἴ καί τις. ἄλλος. ὡς οὐδεὶς ἄλλος.

Εἶλεν. ἐχειρώσατο.

Εἰκῇ. φυσιούμενος. μάτην ἐπαιρόμενος.

Εἰγιλλιᾶν. τὸ σκοτοδινιᾶν. ἀπὸ τοῦ δοκεῖν εἰλεῖσθαι. τουτέστι στρέφεσθαι τὰ πάντα. ἔστι δὲ καὶ ἔλλειψις ψυχῆς.

Εἵλατο. ἠγάπησεν. ἠθέλησεν.

Εἰλικρινές. καθαρὸν. καὶ ἀληθές.

Εἰλιγγίασεν. ἐστροφώθη. ἐσκοτίσθη.

Εἶλαρ. ὀχύρωμα. βοήθημα καὶ τὸ φύλαγμα καὶ φράγμα.

Εἰλαπίνην. τὴν μεγάλην εὐωχίαν. ἐν ᾗ κατ' εἰλὰς καὶ συστροφὰς εὐωχεῖται.

Εἰληχώς. λαχών.

Εἰληφώς. λαβών.

Εἰλεόν. σημαίνει τὴν βασιλικὴν καὶ μαγειρικὴν τράπεζαν.

Ελείθυια. ὄνομα θεᾶς τῶν τικτουσῶν γυναικῶν ἔφορος ἔστι δὲ καὶ ἑορτή.
Ειμέν ἐστιν. ἐὰν μὲν οὕτως.
Ειμαρμένη. τύχη γένεσις.
Ειληφα. ἔλαφον.
Ειλάμενος. συστρεφόμενος.
Ειλυμα. σκέπασμα.
Ειμὴν. ὄντως.
Ειμα. ἱμάτιον.
Ειμι. πορεύομαι.
Ειμερον. ἔρωτα.
Ειμερόεντα. ἐπιθυμητικόν.
Εινεκα. τοῦ οὕνεκα διαφέρει. τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι. οὕνεκα καλὸν εἶδος. τὸ δὲ ἕνεκα τὸ τοῦ χάριν σημαίνει.
Εινάτηρ. ἡ σύνυμφος.
Ειξαντα. ὑποχωρήσαντα. ὑπακούσαντα.
Ειρος. πτωχός.
Ειρήξαντο. ηὔξαντο.
Ειρεσίας. κωπηλεσίας.
Ειναι. ὑπάρχειν.
Ειρων. ψεύστης. χλευαστής. ὁ ἄλλα μὲν φρονῶν. ἄλλα δὲ λέγων.
Ειργεσθαι. κωλύεσθαι.
Ειρωνίας. χλεύσης. ἢ ὑποκρίσεως.
Ειρξαν. ἐκώλυσαν. συνέκλεισαν.

Ειρω. λέγω.
Ειρψ. λάιλαψ.
Ειρήθω. λεγέσθω.
Ειρύσασθαι. ἑλκύσειν.
Εισήλασεν. εἰσῆλθεν.
Ειρω. ὅτι μὲν ψιλοῦται σημαίνει λέγω. ὅτι δὲ δασύνεται σημαίνει τὸ συνάπτω. συμπλέκω.
Εισίασι. εἰσέρχονται.
Εισὶ γὰρ εἰσὶν. ὑπάρχουσι δὴ ὑπάρχουσι.
Εισηγητὴς. διδάσκαλος. πρόξενος.
Ειρεσιώνης. κλάδος εὐμεγέθης. ἔχων ἐξερίων σημμάτων. κολλύρας. καὶ ἰσχάδας. καὶ τῶν καθαρῶν ἀκροδρύων ὁρμαθὸς.
Ειρερος. ἡ δουλεία.
Ει που. ἐὰν που.
Ειπερ. ἐὰν περ.
Ειπερ γάρ κε. ἐάν περ γὰρ.
Ειρηνόδωρος. ὁ τὴν εἰρήνην διδοὺς.
Ειρῆσθαι. λέγεσθαι.
Εισεπίδωσιν. αὔξησιν.
Εισομαι. γνώσομαι.
Εισονται. γνώσονται.
Ειση. γνώσῃ.
Εις τὸ ἀπηχὲς. εἰς τὸ χεῖρον.
Εισθέει. εἰσέτρεχεν. θέειν γὰρ τὸ τρέχειν.
Εις λῆξιν. εἰς τελειότητα.

Εισπραξιν. ἀπαίτησιν. ἀνταπόδοσιν.
Εισκεκριμμένον. ἐπίσακτον.
Εισήλατο. εἰσεπήδησεν.
Εισποιητὸν. θετὸν. οὐ γνήσιον.
Εισοίσει. εἰσενέγκει.
Εισέφρησον. εἰσήγαγες.
Εις. εὐνὴν. εἰς κοίτην.
Εις. ἑστίασιν. εἰς δεῖπνον. ἢ εἰς ἄριστον. ἢ ἁπλῶς εἰπεῖν εὐωχίαν.
Εισω. ἔσω.
Εστιακότες. ἐκ τοῦ ἑστία ὁ σημαίνει τὴν οἰκίαν.
Εισίτητος. ὁ πορευτός.
Εισηνιοχῶς. εἰς ἐνεχύρων.
Εις ὅτι δὴ. ἕως ἂν.
Εις ἀΐδαον. εἰς ᾅδου.
Εις κόρακας. εἰς τὸ σκότος.
Εισήγουμαί σοι. παραινῶ.
Εισιθι. εἴσελθε.
Εισβάλλει. εἰσέρχεται.
Εισφορὰ. τέλεσμα.
Εις παραβολὴν. εἰς γέλωτα. εἰς διήγημα.
Εις καιρὸν. εὐκαίρως.
Εισεχέοντο. εἰσήρχοντο.
Ειτα. σύνδεσμος τακτικὸς καὶ ἀριθμητικός.
Ειτα. ἐπίρρημα τάξεως
Ει τι. ἐάν τι.
Ειτω. ἔσω. ἐστι δὲ καὶ ἐλθέτω.

Ειῶσι. ἐῶσι. συγχωροῦσι.
Ειτόγε. ἐι τοῦτο.
Ειωθεν. ἐφ' ἑκάστης ἔθος ἔχει καθημέραν.
Εκαλαμήσαντο. ἐσαχουλόγησαν.
Εκαθεν. πόρρωθεν.
Εκας. πόῤῥω. μακράν.
Εκπίρω. ἐκάστω.
Εκαραδόκει. προσεδόκα. ἐκαρτέρει. ἐπετήρει. ἀπεσκόπει.
Εκαρποῦτο. παρεκέρδανεν.
Εκατόμβην. ἑκατὸν θυσίας. ἢ ἑκατὸν βοῶν θυσίαν.
Εκάεργος. τοξότης. ὁ ἑκαπίρωθεν εἴργων τοὺς πολεμίους.
Εκανθαρώθη. ἀγριώθη.
Εκβρασθῇ. ἐκβληθῇ. ἐκριφῇ. λέγεται δὲ ἐπὶ τῶν ὑπὸ τῆς θαλάσσης ἐκριπτομένων.
Εκαστος. ὁ καθεῖς.
Εκάτερος. καὶ ἕκαστος διαφέρει. τὸ ἑκάτερος ἐπὶ δυοῖν. τὸ δὲ ἕκαστος ἐπὶ πολλῶν.
Εκγενέτης. ἐκ γεννήσεως
Εκδοτον. παρεδομένον.
Εκ δυοῖν. ἐκ τῶν δύο.
Εκδειματοῦντες. ἐκφοβοῦντες.
Εκδοχή. ἀναμονή. προσδοκία.
Εκδημος. ἀπόδημος.
Εκδηλος. φανερός.
Εκδίκως. δικαίως.
Εκδερμίων. δερμάτων.

Εκδίκος. σημαίνει β. τὸν ἐκδικητήν. καὶ τὸν ἄδικον. τὸν ἔξω τοῦ δικαίου ὑπάρχοντα.

Εκαία. ἔκαυσα.

Εκενώθησαν. ἐρημώθησαν.

Εκζεσις. ἔκβρασις. ἐκβρασμός.

Εκηλος. ἥσυχος.

Εκηβόλοις. μακροβόλοις. τοξόταις.

Εκηλα. ἀπρεπῆ.

Εκθύμως. προθύμως.

Εκπλαγος. ὁ καταπληκτικὸς ἀπὸ πλαγος. φοβερὸν γάρ

Εκθεσμοι. παράνομοι.

Εκνομίως. ἐξ ἄλλων. παρὰ τὰ νενομοθετημένα ἔξω τοῦ νόμου.

Εκθειάσαι. θεοποιῆσαι.

Εκθορών. ἐκπηδῶν. ἐκφεύγων.

Εκθετα. ἐκριπτούμενα.

Εκρισις. ἔκρευσις.

Εκθέωσιν. ἐκτρέχουσιν.

Εκδεβαν. ἐξέβησαν.

Εκίσσησιν. ἐγέννησεν.

Εκρίνεται. ἐκρίπτεται. ἐκρέει. λαμβάνεται δὲ ἐπὶ τῆς ἀνθρωπίας ῥοώδους γονῆς ἐπιγέμην καὶ τῆς τῶν κτηνῶν.

Εκκλινον. ἀποχώρησον.

Εκκριτον. ἐπίλεκτον. ἐκλελεγμένον.

Ἐκεχειρία. ἄνεσις. ἀργία. συνθήκη. ἔκδωσις. ἀνοχὴ πολέμου.
Ἐκήρυκτον. ἀπόβλητον.
Ἐκκομιδήν. ἐκφοράν.
Ἐκκακεῖ. ἀμελεῖ. ἢ ἀκηδιᾷ.
Ἐκκεκόλαπται. ἐγγέγλυπται.
Ἔκκλυον. ὑπήκοον.
Ἔκκλητον. τὴν σύνοδον.
Ἐκκλυδονίζεται. ἀπὸ ἀκοῆς μαντίας δεχόμενος ἐμαυτόν.
Ἔκπληξις. ἐστὶ φόβος ἐξ ἀσυνήθους φαντασίας.
Ἐκκλησιάσας. συναθροίσας. συναγωγὴν ποιήσας. καὶ παρ' ἀθηναίοις ἡ ἐκκλησία τὸ ἄθροισμα λέγεται. παρὰ τὸ πεπυκνῶσθαι τοὺς συνεχομένους ἐν αὐτῇ.
Ἐκκλησία. διὰ τὸ ἐκκλησιάζεσθαι ἤγουν συνάγεσθαι. ἐκκλησία γὰρ ἡ συναγωγὴ καὶ βουλὴ τῶν ἀνδρῶν. ἢ διὰ τὸ ἐκλελεγμένον εἰς ἕν.
Ἐκλιπαρεῖ. λίαν παρακαλεῖ.
Ἐκλογιοῦ. ἡ ἐκλογάς.
Ἐκλεχέων. ἐκ τῶν κοίτων. λέχος γὰρ ἡ κοίτη.
Ἐκλογισίαν. ἀρίθμησιν.
Ἔκμολεν. ἐξῆλθεν.
Ἐκμαγεῖον. ἐκτύπωμα. σφραγίς. ἀντίτυπον καὶ ὑπογραμμός.
Ἐκμαγεῖον. ἡ φαντασία φησὶ ὁ πλάτων. καὶ τὸ ἐκσματίζεσθαι καὶ ὑποσυλᾶνται εἴδη ἀπὸ τῆς ὕλης.
Ἐκμηχανῶμαι. κατασκευάζω.
Ἐκμειλίσσεσθαι. καταπραΰνειν.
Ἐκμυκτηρισμός. χλευασμός.

Εκάπυσεν. ἐξέπνευσεν.
Εκβάμπων. καταισχύνων
Εκμυζήσας. ἐκπίασας.
Εκμελῆ. ἄτακτον. ἀνάρμοστον.
Εκ μέσης. ἐξ ὅλης.
Εκμαιωθεὶς. ἐξομοιωθείς.
Εκόπασαν. ἐπαύσατο.
Εκ νιφίαν. ἄνεμον ἐκ νεφῶν καὶ ὄμβρων.
Εκορθοῦντο. ὑψοῦντο. ἐκορυφοῦντο.
Εκολάω. ἐκορύβει. ἐκερτόβει.
Εκοντὶ. θελήσει. ἑκουσίως.
Εκομπάσθη. ἠπατήθη. εἰς ὅρκον διατέθη.
Εκ περιουσίας. ἐκ περιττῶν. ἐκ τοῦ ὑπερέχοντος.
Εκ παραλλήλου. ἐξ ὁμοίου. ἐξ ἰσότητος.
Εκπαγλα. ἐκπληκτικά.
Εκπρεπὲς. ὡραῖον λίαν.
Εκπεπολέμωται. ἐχθρωδῶς διάκειται.
Εκποδῶν. ἀφανὴς. φυγὰς ἐκ μέσου.
Εκρίθη. ὡρίσθη.
Εκπριοῦ. ἐξαγόρασον. ἐλευθέρωσον.
Εκπολιορκεῖ. καταπολεμεῖ. πολεμεῖν.
Εκ περινοίας. ἐξ ἐπινοίας.
Εκπλήσας. ἐκπληρώσας.
Εκπιέσσονται. ἐκπιεσθήσονται.
Εκ περιτροπῆς. ἐξ ἀποστροφῆς. ἐκ νίκης.
Εκ παραλόγου. ἐξ ἀνελπίστου.

Εκπαγλότατη. ἐκπληκτικώτατη.
Εκπύσσον. φανερόν. εἰς πολλοὺς ἀκουστόν.
Εκ σοῦ πρόθ γίνεται. ἐκ τῆς ἐκ προθέσεως καὶ τῆς συαν- τωνυμίας. σημαίνει. δὲ τὸ ἀπὸ τῆς σαφοῦς. ἐξ οὗ δὲ σημαίνει τὸ ἀφ᾽ οὗ χρόνου.
Εκ τοῦ κλίτους. πόσα σημαίνει Γ. τὴν συνέλευσιν. καὶ τὴν συνάθροισιν. καὶ γίνεται παρὰ τὸ κλῶ τὸ καλῶ. ὡς τὸ σήμερον τὸ κλῖτος τῶν θείων παρθένων. καὶ διὰ τοῦ ι. τὸ μέρος τῆς οἰκίας τὸ καλούμενον προσκλιτόν. ὡς τὸ ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. καὶ τὸν εὐ- ώνυμον τόπον. ὡς τὸ πεσοῦνται ἐκ τοῦ κλίτους σου. ἔστι δὲ καὶ ἀρσενικόν. διὰ διφθόγγου ὅπερ καὶ ὀξύ- νεται.
Εκραταίωσεν. ἐνεδυνάμωσεν.
Εκσεσοβημένοι. ἐκπεταραγμένοι.
Εκστασιν. ὕπνον.
Εκσιφωνηθείη. ἐκρυεῖ. διασκορπισθεῖ.
Εκ σπείρης. ἐκ νουμέρου. ἐκ τάγματος.
Εκτικῶς. κατὰ ἕξιν. ἕξις δὲ ἐστὶ δυσμετακίνητος τρό- πος. ἤτοι διάθεσις.
Εκστῶσαν. πηδῶσαν.
Εκρίζον. ἀποριζῶν τὴν ἁμαρτίαν καταβαλῶν.
Εκπομα. τὸ ποτήριον. παρὰ τὸ ἐκποιεῖν ἢ παρὰ τὴν ἁπ- λότητα.
Εκπομα. φιάλη. ποτήριον.
Εκπεράνας. εἰς πέρας ἀγαγών.
Εκτετηκῶς. ἀποδεδωκώς.
Εκτετηκότας. ἀποπληρώσαντας. ἀποβαλόντας.

Εκτεθηλυμένοι. μαλακισθέντες. ἢ ὡς θήλειαι γενόμενοι
Εκτιννύων. ἀποδιδούς.
Εκτετρυχωμένος. καταπεπονημένος. ἐκνενευρισμένος.
Εκτίλαι. ἐκκόψαι.
Εκ τῆς ὀσφύος. ἐκ τοῦ σπέρματος. ἐκ τῶν ψυῶν. ἐκ μυέλων.
Εκ τοῖς. ἐκ τούτου.
Εκτοὔμπαλιν. ἐκ τοῦ ἐναντίου.
Εκτριβήσῃ. φθαρείσῃ. ἐξαναλωθείσῃ.
Εκτοπον. ἄτοπον.
Εκτενῶς. συντόνως. ἐπιμόνως.
Εκτρεπόμενος. ἀποστρεφόμενος.
Εκυρα. ἑκάρασι.
Εκεῖ. καὶ ἐκεῖσε διαφέρει. τὸ μὲν ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε εἰς τόπον οὕτως ἐροῦμεν. ἐκεῖ κατέλαβον. καὶ ἐκεῖσε πορεύομαι.
Εκτωρ. ὄνομα κυριακόν.
Εκτρωμα. τὸ ἐκ τῆς μήτρας ἀτελὲς ἄξιον ἀμβλωθρίδιον.
Εκτύπωμα. ἐκσφράγισμα. ἐκ τοῦ ἐκμάσσου ῥήματος.
Εκτινάξας. ἀποῤῥίψας.
Εκυρός. πενθερός.
Εκφυλον. ἀλλότριον. ἀλλογενές.
Εκφοιτᾷ. ἐξέρχεται.
Εκφαντορία. ἔκφανσις. φανέρωσις.
Εκφρυαγμοῦ. ἐξ ἐπαρμοῦ.

Εκφρων. μωρὸς. ἔξω φρενῶν.
Εφυ. ἐγεννήθη.
Εκφορὰν. ταφὴν. ἐκ τοῦ ἐπιμνῆμα ἐκφέρεσθαι.
Εκφαίνει. δηλοῖ.
Εκφανθέντος. δηλωθέντος.
Εκφαντικὴν. δηλωτικήν.
Εκχεον. ἔκχυσον.
Εκφαντορίας. θεολογίας. θεοφανείας. μαστυγωγίας.
Εκχύμενοι. ἐξερχόμενοι.
Εκφάντορες. οἱ τῶν μυστηρίων ἄρρητα συμβολικῶς ἐκφηνίζοντες.
Εκόντως. θέλων. βουλόμενος.
Εκχαραδρωθέντας. ἐξορυχθέντας. ἀποχυλισθέντας.
Εκστῶσαν. ἐπηρμένην. ἐξεστηκυῖαν.
Εκψίσματα. ἀποσάγματα. ἀπομάγματα.
Εκωμώδησε. διέπαιξε. διεθρύλλησε. κατεγέλωσεν. ἐτραγώδησε.
Εκωθωνίζοντο. ἐμέθυον. περιεφέροντο. ἢ εἰς φιάλια ἔπινον. κώθων γὰρ ἡ φιάλη.
Εκώκυσε. καὶ ἐκόκυσε, διαφέρει. ἐκώκυσε μὲν τὸ ἐθρήνησεν ἐπὶ ἀνθρώπου. ἐκόκυσε δὲ ἐπὶ ὄρνεω ἐξ οὗ καὶ κόκυξ.
Ελαύνω. διώκω.
Ελαία. ἐλαιὰς διαφέρει. ἐλαία μὲν γάρ ἐστιν αὐτὸ τὸ φυτόν. ἐλαιὰς δὲ ὁ τοῦ φυτοῦ καρπός.
Ελεῖν. λαβεῖν.
Ελεγχος. τὸ ὄνειδος. καὶ ἐλέγχιστος ὁ ἐπονείδιστος.
Ελάχιστος. μικρὸς πάνυ.

Ελάσσων. μικρὸν. ἧττων.
Ελαφηβόλος. κυνηγός.
Ελαιοδεύετος. ἐλαίῳ βεβρεγμένος. δεύειν γὰρ τὸ βρέχειν
Ελάσασκεν. ἔπληττεν.
Ελεπόλεις. μηχανήματα. οἱ κριοὶ καὶ τὰ λιθοβόλα ὄργανα δι᾽ ὧν αἱ πόλεις ἁλίσκονται.
Ελατὴρ. ἡνίοχος.
Ελαφρὸς. κοῦφος.
Ελεοῖσι. μαγειρικοῖς τραπεζίοις.
Ελείφθη. καὶ ἐλήφθη διαφέρει. τὸ πρῶτον ἐπὶ τῆς ἀλείψεως διὰ τοῦ ει. τὸ β. τὸ ἐπὶ τῆς καλήψεως διὰ τοῦ η.
Εληλάτει. ἠχμαλώτευσε. ἥρπαζεν. ἀπὸ θέματος τοῦ ληλατῶ ἐλάτω.
Ελέσθαι. θελῆσαι ἐκλέξασθαι.
Ελδεται. ἐπιθυμεῖ.
Ελδεσθν. ἐπιθυμία.
Ελδομαι. ἐπιθυμῶ.
Ελετον. λεπτόν.
Ελιλιξάμενος. ἐπιστραφείς.
Ελεεῖ. οἰκτείρει.
Ελένη. ὄνομα κυριακόν. ἀπὸ τοῦ πολλοὺς ἕλκειν εἰς τὸ κάλλει αὐτῆς.
Ελίκη. ἡ ἄρκτος. ἀπὸ τοῦ ἐν αὐτῇ εἰλεῖσθαι. περιγραφὴ γὰρ τὸν ἀρκτικὸν κύκλον.
Ελικτός. ἑλιγμένος.
Ελάστριαν. ἐκδιώκτειραν.
Ελλην. φρόνιμος.

Ἐλευθερία. ἀπὸ τοῦ ἐᾶν ἐλεύσεσθαι ὅ ἐστιν ἔρχεσθαι ὅπου βούλεται.

Ἐλέπολις. σημαίνει τὸ μάγγανον καὶ τὴν κλίμακα.

Ἐλέφας. ἐλίβας. ἐπιβαίνει γὰρ τῇ θηλείᾳ οὐκ ἐπὶ γῆς. διὰ τὸν ὄγκον. ἀλλ' ἐπὶ ὕδατος ἐλώδους ὅπου νέμονται. καὶ γ' εὐκόπως κοῦφος. λέφας γὰρ τὸ ἄρμενον.

Ἔληξεν. ἐπαύσατο.

Ἐληΐσατο. ἠχμαλώτισε. διήρπασε.

Ἐληΐζετο. διέρπαθεν. ἐπόρθει. ἐξερήμου.

Ἔλη. σύνδενδροι καὶ δρυμώδεις τόποι.

Ἐλήλακεν. ἐλήλυθεν.

Ἑλικοειδῶς. κυκλοειδῶς.

Ἐλίσσετο. παρεκάλει. ἐδέετο.

Ἔλεος. ὁ οἶκτος.

Ἑλικώπιδι. εὐόφθαλμον.

Ἐλλάμψεως. φωτισμοῦ.

Ἐλίπανας. ἐφαίδρυνας. ἢ λιπαρὸν ἐποίησας.

Ἕλιξ. τὸ τῆς ἀμπέλου νευροειδὲς ἔφυρμα τὸ ἐπιλαμβανόμενον τοῦ ξύλου.

Ἐλλόβια. ἐνώτια.

Ἕλικι. κλήματι ἀμπέλου κυκλοειδεῖ. λέγεται δὲ καὶ ἡ ἄρκτος.

Ἑλόντος. χειρωσαμένου. νικήσαντος.

Ἐλλόγιμος. γεγραμματισμένος. δικανικὸς λόγιος. γνωστικός.

Ἕλξεις. ἑλκύσεις.

Ἕλοιτο. ἐκλέξοιτο. θελήσει.

Ελινύω. ἡσυχάζω.
Ελοχεύθη. ἐγαμήθη. ἐγεννήθη.
Ελπομαι. ἐλπίζω.
Ελκος. παρὰ τὸ συνέλκεσθαι τῷ δέρματι.
Ελπομένη. ἐλπίζουσα.
Ελπονται. ἐλπίζουσι.
Ελιξ. τὸ ψέλλιον. ἤτοι τὸ χολαρίκιον.
Ελυτρους. σκεπάσματα.
Ελύθη. ἔπεσεν.
Ελύσατο. ἐλυτρώσατο
Ελλος. ἔλαφος.
Ελαφος. ἀπὸ τοῦ ἐλεῖν τοὺς ὄφεις. τάχα δὲ ὅτι ἐλαφρά ἐστιν
Ελωβήσατο. ἔβλαψεν.
Ελωρ. ἄγρευμα. ἕλκυσμα.
Ελώρια. ἑλκύσματα. καὶ σπαράγματα.
Ελωμαι. ἀφέλωμαι.
Ελλοψ. ὁ ἰχθύς.
Ελῶσα. ἐλαυνῶσα.
Ελλω. ἑορτὴ ἀθηνῶν ἀπὸ τοῦ ἕλους μαραθῶνος.
Ελκηθμος. ἡ βία. ἕλκυσις.
Εμάτησεν. ἐματαιώθη.
Εμαίμασεν. ἔκυμα τοῦτο. ἐκλονεῖτο. ἔσφυζεν. ἐτάρασσεν.
Εμβρυον. παιδίον τὸ ἐν τῇ γαστρὶ τῆς γυναικὸς ἔτι διάπλασμα.
Εμαρψα. κατέλαβον.

Εμβρόντητος. μαινόμενος. ἄφρων. καρδιόπληκτος. ἀπὸ μεταφορᾶς τῶν ἀπὸ ψόφου βροντῆς ἐξεστηκότων.
Εμβολήν. κλεισοῦραν. εἴσοδον. ὁρμήν.
Εμβατεύων. ἐπιβαίνων.
Εμβαδόν. παίζει διὰ θαλάσσης.
Εμέων. ἐμεῶν.
Εμεῖο. ἐμοῦ.
Εμβριθυνοῦν. στερεὸν καὶ ἔμφρονα λογισμόν.
Εμβριμᾶται. μετὰ αὐστηρότητος ἐπιτιμᾷ.
Εμβριμόμενος. ἐπιτιμῶν. δεῖ δὲ γινώσκειν ὅτι ἀπὸ μεταφορᾶς τῶν μασσομένων χαλινῶν τοῦ ἵππου διὰ κατάνηξιν τοῦ βάρους κεῖται ἡ λέξις.
Εμμορε. ἔτυχεν. ἔλαχεν.
Εμβατεῦσαι. ἐπιβῆσαι. κατασκοπῆσαι. ἐξερευνῆσαι.
Εμπηρος. ὁ βεβλαμμένος.
Εμμεναι. ὑπάρχειν.
Εμπεδῶσαι. βεβαιῶσαι. ἐνισχῦσαι.
Εμβολος. ὁ ἐμβαίνων λαός.
Εμπης. ὅμως.
Εμμελῆ. εὔτακτον. εὐάρμοστον.
Εμμελίας. εὐρυθμίας.
Εμμελῶς. συνετῶς.
Εμματαΐζω. ματαιολογῶν. ὑπομονητικόν.
Εμόργησα. ἔκαμον. ἐκοπίασα.
Εμπαθής. ὁ σαρκικός.
Εμπειρίαν. γνῶσιν.

Εμπλεα. πεπληρωμένον.
Εμπεδοῖ. διδάσκει. βεβαιοῖ. ἀσφαλίζεται.
Εμεῖ. τῷ τὴν τροφὴν ἐκβάλλεσθαι.
Εμπορος. πραγματευτὴς. καὶ ὁ διὰ παντὸς τοῦ βίου τὴν πορίαν ποιούμενος.
Εμπορεία. ἡ πραγματεία. καὶ ἔμπορος ὁ ἀλλοτρίας νεὸς ἐπιβάτης. ἤτοι ὁ ναῦλον πλέων καὶ ἔχων ἰδίαν ναῦν.
Εμπις. κώνωψ.
Εμποῦντο. μυστηρίων ἠξιοῦντο.
Εμπληκτος. μαινόμενος
Εμπεδα. ἀσφαλῆ. βέβαια. ἑδραῖα.
Εμπαλιν. ἐναντίον. ἢ ἐκ τοῦ ἐναντίον πάλιν.
Εμπαιγμα. ἐκ τοῦ παῖς παῖδος. παίζω. καὶ κατὰ φράσιν παίζω. καὶ ἐξ αὐτοῦ ἔμπαιγμα.
Εμπειρος. ὁ ἔχων πεῖραν.
Εμπαροινεῖ. παροξύνει. ἐνυβρίζει.
Εμπρέποντα. διαπρέποντα.
Εμύξατο. ἀηδίαθη.
Εμπρεποῦσθαι. φιβλοῦσθαι.
Εμπέπαιχα. ἐνέπαιξα. ἐχλεύασα.
Εμποδών. ἐμμέσω.
Εμπουσα. ὀνοσκελὶς. φάσμα. ἑκαταῖον.
Εμπολήσαντες. ὠνησάμενοι.
Εμπομπεύων. ἐπιφαίνων. θριαμβεύων. σεμνυνόμενος.
Εμπίπραται. καίεται. ἐμπιρίζεται.
Επλεια. πλήρη γέμοντα. μεστά.

Εμπρονῆσαι. διαπρῖσαι.
Εμπίπλαται. πληροῦται. χορτάζεται.
Εμυκήσατο. ὡς ταῦρος ἐβόησε.
Εμυήθην. ἔμαθον. ἔγνων.
Εμφάσεων. ἐννοήσεων.
Εμφασιν. ἐννόησιν.
Εμπυον. τὸ ἕλκος.
Εμφερὲς. ὅμοιον.
Εμφέρεια. ὁμοιότης.
Εμφαίνων. δηλνύς.
Εμφαντικῶς. ἐννοητικῶς.
Εμφαντικώτερον. δηλωτικότερον..
Εμφύλιον. συγγενικόν.
Εμφέρεται. ἐγγέγραπται.
Εμφρων. συνετός.
Εμφοροῦμαι. κορέννυμαι.
Εμφανὲς. φανερὸν.
Εμφιλοχόρευς. ἐν διατριβῃ ἀγαπητικός.
Εμυήθησαν. ἐπλέθησαν. ἔμαθον.
Εμύει. ἔπλει.
Εναπενίσαι. προσβλέψαι.
Ενεσι. τὸ μὴ δὲ μίαν ἔχον διαφορὰν. ἀλλὰ μονοειδῶς ὤν ἀεὶ.
Εναγέστατον. χαλεπὸν. ῥυπαρόν.
Εμφυτον. πεφυκῶς τῇ φύσει δυσιοδῶς.
Εναβρύνεται. ἐντρυφᾷ ἐγκαυχᾶται. μεγαλοφρονεῖ. ἁβρὸς γὰρ ὁ τρύφερος λέγεται.

Εναχος. ἀρτίως πρὸ μικροῦ.
Εναυλον. οὐ πρὸ πολλοῦ. ἔτι ἐνηχούμενον στόνα παρὰ τὸ
αὐλεῖν.
Εναυλος. ἔμπνους. σημαίνει δὲ καὶ ῥοῦν. καὶ χαράδραν.
καὶ χειμάῤῥους. καὶ ἔναυλα μνημονεύματα.
Εν. κατὰ μίμησιν ὡς τὸ ἅπαξ.
Εναλλάξ. παρὰ τὸ ἐναλλάξω ῥῆμα. ὡς παρὰ τὸ μίξω.
ἐπιμίξω.
Εναρα. τὰ ἀπὸ πολέμων λάφυρα. ἐναρίζειν γάρ ἐστι τὸ
φονεύειν. καὶ διὰ τοῦτο καὶ οἱ νεκροὶ ἔναροι. ἔναρος
καὶ ὁ καταχθόνιος.
Εν ἄστει. ἐν πόλει.
Εναγέστατος. ακαθαρτος. μυσαρώτατος.
Εναργῶς. φανερῶς.
Εναλῶτα. συλληφθέντα. κρατηθέντα.
Ενάγει. ἀναβιβάζει. ἐφέλκεται. προτρέπεται.
Εναύλισμα. οἴκημα.
Ενδεία. πενία. λιμός.
Εναγοῦς. ἀκαθάρτου. μιαροῦ.
Ενάλια. θαλάσσια.
Εναποματτόμενοι. ἐντυποῦντες.
Εναργὲς. φανερόν.
Εναυάγησαν. ἐκινδύνησαν
Εν ἀτόμῳ. ἐν βραχεῖ. ἐν στιγμῇ. ἐν ῥοπῇ.
Εν ἀλαλαγμῷ. ἐν εὐφήμῳ βοῇ.
Εν ἀκμῇ. ἐν δυνάμει.
Εναγισμοὶ. ὁλοκαυτώματα.

Εναρθρος. ἠκριβωμένος.
Εν γόοις. ἐν θρήνοις.
Εν ἀκαρεῖ. ἐν ῥιπῇ. ἐν βραχεῖ.
Εννατος. ποθ. πτ ἐν νιὸν αὐτὸν ἄγειν. ὁ γὰρ οὐχ εὕρηται ἐπ' ἄλλου ἀριθμοῦ. ἐπὶ τούτου θεωρεῖται. εἰς μονάδα γὰρ λήγει. ἐννάκις γὰρ ἐννέα ὀγδοήκοντα μία.
Εν γεᾳ. ἐν γῇ ἀλλοτρίᾳ. ἢ ἐν ξένῃ γῇ κτίσις.
Εν γήρει πίονι. ἐν γήρει λιπαρῷ.
Ενδιαιτώμενοι. ἐνδιατρίβοντες. ἀναστρεφόμενοι.
Ενδίνοισι. τοῖς ἐντοσθίοις μέλεσιν. ἔνδινα τὰ ἔνθερα.
Εναρμόνιον. ἐμμελῶς προσφερόμενον.
Εναλίγκιος. ὅμοιος.
Εναπομόργνυνται. ἐναποτυποῦσι.
Ενδελεχῶς. ἐπιμόνως. συνεχῶς. ἀδιαλείπτως.
Ενδιάζειν. απο του δυο αριθμου εἴρηται. ὁ διὰ τῆς οι διαφθόγγου γίνεται διονεὶ παρὰ τὸ δύο γνώμαις ἀμφιβάλλειν ὁπότερα κρεῖσσον.
Ενδυάζοντες. διστάζοντες. ἀμφιβάλλοντες.
Εν ἔστι. ἐν ὑπάρχει
Ενδομυχὶ. ἐν ἀποκρύφῳ τόπῳ
Ενδείξομαι. ἀπολογήσομαι.
Ενδημεῖ. ἐν τῇ πόλει ἐστι.
Ενδικον. δίκαιον. ἢ δίκης ἄξιον.
Ενδύαστον. ἀμφίβολον.
Ενδεῖ. χρείαν ἔχοντι λιπομένω.
Ενδίκως. δικαίως. ἀληθῶς.
Ενέποντες. λέγοντες.
Ενέλιπεν. ὑστέρησαν. ἔλειψεν.
Ενέφηνεν. ἐνεδείξατο.

Ενεγκοῦσαν. μητέρα ἢ πατρίδα.
Ἐνέργεια. κατὰ τὸ ἐνεργεῖν τὶ πράττειν. ἐνέργεια δὲ λέγεται διὰ τὸ ἐν ἔργοις εἶναι ἤγουν φαίνεσθαι.
Ἐνέργεια. φυσική ἐστιν. ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις.
Ἕνεκα. σύνδεσμος αἰτιολογικός.
Ἔνδοξος. καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπίσημος. ἐπίδοξος δὲ ὁ ἐλπιζόμενος καὶ προσδοκώμενος.
Ἐνεθουσιᾶτο. ἐθεοφορεῖτο. ἢ ὑπὸ θείου πνεύματος κατελάμπετο.
Ἐνεθουσία. ἐμαίνετο.
Ἔνερθεν. ὑποκάτωθεν.
Ἐνεός. ἄφωνος. κωφός.
Ἔνεικα. σημαίνει τὸ ἤνεγκα.
Ἐνέδρα. ἔγκρυμμα. ὑποκάθισμα δολερόν.
Ἔνεμεν. ἔβοσκεν.
Ἐνεκότουν μοι. ἐμνησικάκουν. ἐμήνιαζον
Ἐνέχεεν. ἐνέβαλε.
Ἐνεργεῖν. ἑτοίμως πράττειν.
Ἐνεόχμωσε. νεοσί. κατεσκεύασεν. ἀνεκαίνησε.
Ἐνεῖχεν. ἐχόλα. ὠργίζετο.
Ἐνάργεια. ἡ λόγων λευκότης καὶ φανότης.
Ἐνέργεια. ἡ ἐν τοῖς λόγοις ταχύτης.
Ἐνής. ὁ πρᾶος καὶ ἡδύς.

Ενιπὴ. ἡ ἐπίπληξις καὶ ἡ λοιδορία καὶ ἡ διὰ λόγων ἀτιμία.
Ενειδέσιν. ἐν διαφοραῖς.
Ενεπάρησαν. ἐνεπλώθησαν.
Ενεχείρισαν. ἐνεπίστευσαν.
Ενεργὴς. δυνατός.
Ενησὰ. προσηνῆ.
Ενῆρκται. ἀρχὴν ἐποίησεν. ἐνέρξατο.
Ενῆν. μένειν ἐχρῆν. ἐνυπῆρχεν.
Ενειλισμένον. ἐνπεριειλημμένον.
Ενείρω. ἐμπρονήσω. συμπλέξω. συνάψω.
Ενήλισεν. ἱμάσιζεν.
Ενθους. κατὰ συναλοιφὴν ὁ ἐνθαζόμενος. ἐνθέως ἔνθους.
Ενι. ὑπάρχει.
Ενι. ἔστι.
Ενηρείψαντο. ἐνήρπασαν ἐκ τῆς γῆς ἐνόουν.
Ενιαυτὸς. ὁ χρόνος. παρὰ τὸ ἐν ἑαυτῷ διειληφέναι.
Ενθα καὶ ἔνθα. τῇδε κἀκεῖσε.
Ενθεος. θείῳ πνεύματι κινούμενος.
Ενθους. ἐκ θεοῦ κινηθείς.
Ενθουσιασμὸς. ὅταν ἡ ψυχὴ ὅλη ἐλλάμπεται ὑπὸ τοῦ θεοῦ.
Ενίοτε. ἔστιν ὅτε.
Ενισχημένον. ἐγκεκρατημένον.
Ενίησιν. ἐμβάλλει.
Ενια. τινά.
Ενίους. τινάς.

Ενιοι. τινές.

Ενθεσμον. νομιμον

Ενιάχους. εἰς τινὰς τόπους.

Ενταῦθα. ἐπίῤῥημα τοπικόν.

Ενιζῆσαι. ἐγκαθίσαι.

Ενίδρυται. ἐγκαθέζεται. ἐμμενεῖ.

Εγκομβώσασθαι. ςολίσασθαι.

Εγκάθετος. ἐνεδρευτής.

Εννεώρου. ἐννιαετοὺς

Εκάρσιον. πλάγιον.

Εγκονέοντες. σπουδάζοντες.

Ενοσφίσατο. ἔβλεψεν.

Ενοχος. χρεώςης. ὑπεύθυνος.

Εννομον. ἔνθεσμον.

Εναθέξαι. ἐνχορήσαι. ἐνδιαθέσαι.

Ενος. ὁ ἐνιαυτός.

Ενίπτεται. ἐπισημαίνεται.

Εν χρῷ δὲ κόσμησι. λέγομεν τὴν εἰς βάθους κουρὰν πρὸς αὐτὸ τῷ σώματι.

Ενςάσεις. ἀπορέιας.

Εννυχοι. ὑπὸ νύκτα.

Ενοπτρα. κάτοπτρα.

Ενορχα. ἄῤῥενα.

Ενόςησας. ἐπανῆλθες. ἐςράφης.

Ενῶν. ἐνυπάρχων.

Ενου καιρῷ. πρὸ τοῦ καιροῦ.

Ενπροσχήματι. ἐν ὑποκρίσει.

Ενπαραβύστῳ. λεληθότως. λαθρέως. ἐν ἀποκρύφῳ.

Ενσηκοῖς. ἐν ναοῖς.

Εν ῥάβδῳ. ἐν ἐπιθυμίᾳ λόγων.

Ενστερνισάμενος. περιλαβών. περιπτυξάμενος.

Ενσκήψαντα. ἐφορμήσαντα.

Εντίσιν. ἐν ποίοις.

Ενστέρνοισιν. ἐνστήθεσιν.

Εντομίδες. αἱ τοῖς σώμασιν ἐντεμνόμεναι. τοιαῦται δὲ εἰώθασιν. ἐπὶ τοὺς νεκροὺς. αὐτῶν ποιεῖν οἱ ἄπιστοι.

Εντρεχέστερον. γοργότερον. νηφαλιώτερον.

Εντριβὴς. τετριμμένος. ἔμπειρος.

Εν τοῖς φθάσασιν. ἐν τοῖς παρελθοῦσιν. ἐν τοῖς προλαβοῦσι.

Εντελέστερον. ἐντελειότερον.

Εντεῦθεν. παραυτά.

Εντομίας. εὐνοῦχος.

Εντευξις. ἐντυχία καὶ παράκλησις.

Εντεα. τὰ ὅπλα.

Εντέτηκεν. ἐγκεκόλληται πέπηγε.

Ενταλάροισιν. ἐν τοῖς καθαλίοις. ἐν τοῖς ασφίνοις.

Εν χρῷ. ἐγγὺς λίαν. ὡς καὶ ἐφ᾽ ἅπτεσθαι τοῦ σώματος.

Εννέωροι. ἐννεαετεῖς. ὧρος γὰρ ὁ ἐνιαυτός.

Εντομα. τὰ τοῖς κατοιχομένοις θυόμενα. ἐντέμνεται γὰρ τούτων ὁ τράχηλος.

Εν τῷ αὐτῷ. ὁμοῦ.

Ενταθέντα. ἐπτραπέντα. προσαχθέντα.

Εν φέτρῳ. ἐν τῷ φορίῳ

Εν τῇ ἐκστάσει μου. ἐν τῷ ὑψωθῆναί με.

Εν ταῖς βάρεσιν. ἐν ταῖς αὐλαῖς. ἢ ἐν τοῖς μεγίστοις τῶν πύργων.

Εντεύξεις. παρακλήσεις. προσελεύσεις.

Εντερίωνι. τὸ ἐντός. ἔντερα. παρὰ τὸ δι᾽ αὐτῶν ῥεῖν τὴν τροφήν.

Εντρεχής. γοργός.

Εν τῇ μειλιχίᾳ. ἐν τῇ γλυκύτητι.

Ενυφέσει. ἐνελαπιώσει.

Εντροπαλιζόμενος. ὑποστρεφόμενος.

Εν ὑποστάσει. ὑπόστασιν ἔχων.

Ενυστρον. κοιλίαν. ἢ ἔντερον.

Εν ὑπερβάτῳ. προθύστερον.

Ενυάλιος. πολεμιστής.

Ενυαλίῳ. τῷ ἄρει.

Ενυλισμένον. κεκαθαρμένον.

Εν φρεσὶν. ἐν διανοίᾳ.

Εν χθόνι. ἐν τῇ γῇ. ἐν ἐδάφει.

Εγχειρίδιον. τὸ ἐν τῇ χειρὶ μαχαίριον.

Εν ὠτί. ἐν ὠτίνι.

Ενχρίμπτεται. ἐγγίζει. ἐμπίπτει.

Ενώμοτος. ἔνοχος τοῖς ὅρκοις. βέβαιος.

Ενωχλήθη. ἐῤῥώστησεν.

Ενώπια. εὐθεῖα.

Ενωτίσασθε. ἀκούσατε.
Ενωπῆ. ἐν προσόψει. φανερῶς.
Εξαλεξῆσαι. βοηθῆσαι. ὑγιῶσαι.
Εξαλαπάξαι. ἐκπορθῆσαι περὶ τὸν λάπαθον. ἔστι δὲ εἶδος.
βοτάνης. καθαρτικὸν γαστρὸς ὁ λάπαθος.
Εξαληλιμμένος. ἀπολειφθεὶς.
Εξαμείβεται. παράλλαξον.
Εξ ἀπόπλου. ἐξ ὑψηλοῦ τόπου.
Εξαγορέυων. ἐξαγγελολογούμενος. ἀπαγγέλλων.
Εξάισια. μεγάλα. παντὸς θαύματος ἐπέκεινα ὑπερβάλ-
λοντα.
Εξαιρούμενος. λυτρούμενος. ῥυόμενος.
Εξαίρετος. ἐυειδής. καλῶς πρόκριτος. λίαν ἐπίλεκτος.
Εξαιρέτως. ἐπίρρημα μεσότητος. πλείω πάντων.
Εξαίσιον. πότε μὲν δηλοῖ τὸ μέγα. ποτὲ δὲ τὸ ἄδικον
τοῦ ἔξω τοῦ πρέποντος καὶ τὸ παρακαθῆκον γενόμενος.
Εξαίρετον. τὸ ἐπίλεκτον. ἐξαίρετον δὲ τὸ ἀπόβλητον.
Εξαιρειάζει. ἐξαίρει δὲ τὸ ἀρέσκεται.
Εξαρκεῖ. ἐπαρκεῖ.
Εξαρθρος. ἐκμελής. ἐξοσιασμένος.
Εξαρτίσαντες. ἐκπληρώσαντες. ἑτοιμάσαντες.
Εξαΐξαντες. ἐξορμήσαντες.
Εξαυδα. εἰπέ.
Εξαπίνης. ἐξαίφνης. ἀιφνιδίως.
Εξάρξατε. προκατάρξασθε. καταλέξατε.
Εξαπορηθῆναι. ἐν ἀπορίᾳ γενέσθαι.

Ἐξάπινα. ἐπίῤῥημα. σημαίνει τὸ ἐξαίφνης. ἐκ τοῦ ἄφνω. ἄφινα. καὶ ἄπινα. τὸ δὲ ἄφνω ἐκ τοῦ ἀφανὴς ὃ σημαίνει τὸ εὐθέως.
Ἐξαισίους. ἐξαιρέτους ἐπιπλέαστους.
Ἐξεπίτηδες. ἑκουσίως. ἐπιτηδευόμενος
Ἐξάχους. ἐκ λύπης.
Ἔξαλμα. ὕψος. ἀπαύγασμα. ἔλλαμψις.
Ἐξαράξαντες. ἐκρήξαντες. κρούσαντες.
Ἔξαρνος. ἀρνούμενος.
Ἐξαιρήσοντα. πορθήσαντα. ἐξερημώσαντα.
Ἐξαλοῦνται. ἐκπηδήσονται.
Ἐξαύτης. παραυτίκα. εὐθέως.
Ἐξάγιστος. μύσαρος. ἔξω τῶν ἁγίων ὀφειλῶν ἐκβάλλεσθαι.
Ἐξαγώνιος. ἔξω τοῦ ἀγῶνος.
Ἐξάντης. ἐξεστηκῶς. μαινόμενος. ἢ ἀβλαβής.
Ἐξάντυγος. ἐκ τῆς περικεφαλαίας. περικεφαλαία δὲ ἐστι καμελαύκιον χαλκοῦν.
Ἐξέστησεν. εἰς ἔκστασιν ἤγαγεν.
Ἐξαρτήσαντες. κρεμάσαντες.
Ἐξευπατριδῶν. ἐξ εὐγενῶν.
Ἐξακεινόμενον. ἐξιόμενον.
Ἐξέθορεν. ἐξεπήδησεν
Ἐξεπολέμησεν. πολεμίους ἀδιαλλάκτους εἰργάσαντο.
Ἐξευμενήσονται. καταπραΰνωσι.

Ἐξεδιήτησε. κακῶς ἐδιήτησε.
Ἐξέφυ. ἐξεβλάστησε.
Ἐξ ἐνοπῆς. ἐκ τῆς μάχης.
Ἐξ ἐπιπολῆς. ἐλαφρῶς.
Ἐξ ὅτι τοῦ. ἀπ' ἐκείνου τοῦ ἔτους.
Ἐξ ὅτι τοῦ. ἐξ ἐκείνου.
Ἐξερῶ. λέγω.
Ἐξπλωράτορες. κατάσκοποι.
Ἐξασυλλεῦσαι. παρακρούσασθαι.
Ἐκσκουσάτος. παρῃτημένος.
Εἰ ἔξεστιν. ἐὰν δύνατον.
Ἐξαρτῶ. τὸ κρεμῶ καὶ ἐξαρτήσαντες τὸ κρεμάσαντες. ἐξ οὗ καὶ ἐξαρτία. τὰ βαστάζοντα σχοίνια τὴν ὀθόνην τοῦ πλοίου. καὶ ἐξαρτῶ τὸ πλειῶ καὶ ἐξαρτήσαντες. τὸ πληρώσαντες. ἐξ οὗ καὶ ἄρτιον τὸ πλεῖον.
Ἐξεπλάξεον. ἐκ τῶν προμαχιόνων.
Ἐξίθυσεν. ἀνεῖλεν.
Ἐξερπύσειν. ἐξιέναι
Ἐξεμόχλευσαν. ἐκίνησαν.
Ἐξετάθη. ἐξετανύσθη.
Ἐξεσαλμακῶς. τὸ ὑποξηρανθέν.
Ἐξειλεγμένων. ἐκλελεγμένων. ἐκλεκτῶν.
Ἐξερημένων. ἐξερήμων ἰωνικῶς.
Ἐξεστηκῶς. διχῶς λέγεται. παρὰ θουκυδίδῃ καὶ πινδάρου. ὅτι μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι. ὅτι δὲ

δι. ὑποχωρεῖν καὶ ὑπεξέρχεσθαι. ἢ ἀφίστασθαι.
Ἐξεκόμασεν. ἐξεπόρνευσεν.
Ἐξεφύσησε. διεσκόρπισεν. ἐβδελύξατο
Ἐξ ἐπιδρομῆς. ἐξαίφνης.
Ἐξήλειψα. ἠφάνησα.
Ἐξεφημερίας. ἐκ τοῦ συνεχοῦς. ἐκ τῆς αὐτῆς πατρίδος
Ἔξεισιν. ἐξέρχεται.
Ἐξερεύξεται. ἐξενέγκει.
Ἐξέπλει. ἐξέπλευ.
Ἐξήμβλωσαν. ἐξέτρωσεν.
Ἐξηχεῖτο. ἐξηκούετο.
Ἐξηγορίαν. ἀπαγγελίαν.
Ἐξηρημένην. ὑπερβάλλουσαν.
Ἐξιτήλους. ἀδοκίμους. διεφθαρμένους.
Ἐξηρτύθη. παρεσκευάσθη.
Ἐξ ἠλιθιότητος. ἐξ ἀναισθησίας.
Ἐξεικασμένοι. ὁμοιωθέντες.
Ἐξήρυγεν. ἐξήνεγκεν. ἐξέβαλεν.
Ἐξιτήριος. ἀποτακτικός.
Ἐξεικονισμένος. μεμορφωμένος.
Ἐξεκλησίασεν. συνήθροισεν.
Ἐξέτηξας. ἀνήλωσας.
Ἐξέωσαν. ἐξέβαλον.
Ἐξεφύρθησαν. ἐμιάνθησαν.

Ἐξενύησαν. ἠφανίσθησαν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἐν πολέμῳ φευγόντων.

Ἐξέφηνεν. ἐξεῖπεν.

Ἐξήνιοι. ἀνυπότακτοι. ἔξω τῶν ἡνιῶν. ἡνίαι δὲ τὰ λῶρα τῶν χαλινῶν καλοῦνται.

Ἐξηλιασμένον. κεκαυμένον.

Ἐξημεροῖ. πραΰνει.

Ἐξίτηλον. ἀμαυρὸν. ἀφανῆ. εὐτελῆ. σκοτεινόν. χαῦνον. λέγεται δὲ καὶ τὸ ἐκβεβηκὸς καὶ ἀλλοῖον. ὅθεν ὤχειλεν.

Ἐξίλασμα. ἀντίλυτρον. ἀνάκτησιν. παράκλησιν.

Ἐξιχνεύει. ἐξερευνᾷ διὰ τῶν ἰχνῶν.

Ἐξιστακέναι. θαυμάσαι. καταπλῆξαι.

Ἐξιλασμόν ἐστι. δῶρον εἰς ψυχὴν φέρον.

Ἐξιλάσομαι. δύσω. πήσω.

Ἐξιστορήσαντες ἀναζητήσαντες.

Ἐξιτηρίους. εὐχὰς ἐφοδίους. τοῖς πρὸς ἔξοδον ἔχουσιν. ἢ πρὸς θάνατον.

Ἔξιθι. ἐξέρχου.

Ἐξικάζω. ἐξακριβοῦμαι.

Ἐξικνούμενον. κατερχόμενον.

Ἐξιωμένους. ἰατρεύοντας. ἰωμένους.

Ἔξ προθ᾽ πόθ. παρὰ τὸ ἐξιάζειν αὐτὸν τοῖς οἰκείοις μέρεσιν.

Ἐξόδιον. τὸ ἐξοδευόμενον. ἔξω τῆς ὀδύνης. ὁδὸς γὰρ ὁ βίος. τουτέστιν ἔξω τοῦ βίου.

Ἐξομνύσθαι. ἀρνεῖσθαι.

Ἐξοιστρήσαντα. ἐκμάναντα.

Ἐξοιστρημένου. ἠρεθισμένου ἐν κακοῖς. παρὰ τὸ οἰστρῶ ῥῆμα τὸ σημαῖνον τὸ ἐρεθίζω.

Ἐξοίχοιτο. μακρύνοιτο.

Ἔξον. μέγιστον.

Ἐξοστρακισθείη. ἐξορισθείη. τὸ παλαιὸν γάρ φησι ἐν ὀστράκῳ αἱ ἐξορίαι. γραφόμεναι τοῖς ὑπερορίζομένοις ἐδίδοντο. ὅθεν καὶ ὀστρακίδας. ὁ ἐξόρους ἦγουν.

Ἔξοχον. μέγιστον.

Ἐξ ὁρίου. ἐπιτηδείου ἀνέμου.

Ἔξουσιν. ἕξουσι.

Ἐξοφρυωμένον. ἐπηρμένον. ὑπερηφανωόμενον.

Ἐξ οὗ δή. ἀφ' οὗ δή.

Ἐξουσία. δυναστεία.

Ἐξ ὑπογύου. ἐξ ἑτοίμου. ἐκ τοῦ προολίγου. ἐκ τοῦ σύνεγγυς. παρὰ τὸ γυῖα ὃ σημαίνει τὰ μέλη. σημαίνει δὲ καὶ παραυτὰ καὶ ἀπερισκέπτως.

Ἐξώρουσεν. ἐξώρμησεν. παρὰ τὸ ὀρῶ τὸ σημαῖνον τὸ ὁρμῶ.

Ἐξώκειλεν. ἐξέβαν. ἐξέρριψεν.

Ἐξώκειλεν. ἐξέπεσεν. ἐξῆλθεν.

Ἐξωραϊσμός. καλλωπισμός.

Ἐξώγκωσεν. ὕψωσεν.

Ἔξωσον. ἄπωσον. ἔκβαλον.

Εξολης. αναιδὸς. ἀναίσχυντος. βιοφάγος. ὀλοθρευτής.

Εξωμὶς. ἀττικὸν τὸ λεξείδιον. σημαίνει δὲ χιτῶνα ἐλευθέριον οὐχ ἐπισκεπάζοντα τοὺς βραχίωνας.

Εοικὼς. ὁμοιωθεὶς.

Εοικει. πρέπει. ἢ ὁμοίει.

Εοικότα. πρέποντα.

Εοικὸς. πρέπον. εὔλογον ἢ ἀκόλουθον. λαμβάνεται δὲ ἀντὶ τοῦ τάχα.

Εοικῶς. πρεπόντως. εὐλόγως ἢ ἀκολούθως.

Εοῖσι. τοῖς ἑαυτοῦ.

Εοῖ. ὑπάρχει.

Εοργεν. ἔπραξεν.

Εοργας. διέπραξω.

Εοιμι. ἐμβάλλοιμι.

Εορτὴ. ἀπὸ τοῦ ἐὸν τοῦ σημαίνοντος. τὸ ἀγαθὸν. καὶ τὸ ὅρω σημαῖνον τὸ ἐγείρομαι. ἑορτὴ γὰρ ἀπὸ τοῦ εἰς τὸ ἀγαθὸν ἡμᾶς ἐγείρειν.

Εὸς. ὁ ἀγαθὸς.

Επαναλήψομαι. ἐπαναλάβοιμι ἄνωθεν.

Επαγωγὴ. ζημία. συμφορὰ αἰχμαλωσία. ἤτοι τὸ ὅπως συνεπαγόμενον κακόν.

Επακτον. ἔξωθεν. ἐπισαχθέν.

Επαμφιάσματα. ἐνδύματα.

Επαρώμενοι. ἐπικαταρώμενοι.

Επαλλεν. ἔσειεν.

Επανατείνεται. ἐπαπειλεῖ.

Επ' ἄμφω. ἐπὶ τῶν δύο
Επαμῦναι. βοηθῆσαι.
Επέγνωσεν. εἰς λύπην ἤγαγεν
Επάρατος. ἐπικατάρατος.
Επαξάμενοι. σπάσαντες.
Επάνοδος. καθόδου διαφέρει. ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινὰ εἰς τὴν ἰδίαν πατρίδα. ἐξελθόντα ἐξ ἀρχῆς ἑκουσίᾳ γνώμῃ. μηδενὸς βιασαμένου. κάθοδος δὲ ὁ τὸ ἐναντίον. ὅταν ἄκων ἀποδημήσας. ἢ φυγαδευθεὶς. ἢ συμφορᾶς τινὸς προηγησαμένης διὰ φόβον.
Επαφᾷ. ψηλαφᾷ.
Επανητέον. ἐπανοδευτέον.
Επήρατος. ἐράσμιος.
Επηνος. ἐπιβρᾶ. ἐγχώριον δὲ ἐπὶ πολύ.
Επαΐοντα. ἐπακούοντα.
Επάπειρον. ἐπὶ πολύ.
Επαπόρησις. πρότασις ἀπορίαν ἔχουσα
Επαγωγὰ. ἀπακτηπικά.
Επαθλον. νικητήριον.
Επετιος. ἐπὶ τοῦ νῦν ἔτους.
Επαρχία. ἡ τοποθεσία
Επαρυστρίδες. ἐλαιοχύτοι. εἰσὶ δὲ μικρὰ τρόλλια ἐν ταῖς λυχνάπταις.
Επάλληλον. ὅμοιον.
Επάλξεις. οἱ τῶν τειχῶν καὶ πύργων προμαχιῶνες.
Επαγωνιεῖται. φιλονικήσει. προσκαρτερήσει.

Επαλίφει. γυμνάζει.
Επανηπίοις. ἐπανοδευτίοις. ἐπιτρεπτίοις.
Επαφώμενα. ψηλαφώμενα.
Επάσαι. ἐπιλαλῆσαι.
Επαυτοφόρῳ. ἐπ' αὐτῷ τῷ κλέμματι ἁλοὺς. φωρᾶσαι γὰρ τὸ καταλαβεῖν. καὶ φῶρος ὁ κλέπτης.
Επάνηκε. ὑπόστρεψον.
Επακτήρ. κυνηγός.
Επαυλις. μάνδρα βοῶν καὶ προβάτων αὐλή.
Επέων. λόγων.
Επαισεν. ἔτυψεν. ἐπάταξεν. ἔπληξεν.
Επάδοντος. φαρμάκου γόητος.
Επεται. ἀκόλουθοι.
Επεισφρήσας. ἐπεισελθών.
Επέθρωσκον. ἐπεπήδα.
Επέκεινα. παρεκεῖ. ἐξωτέρω. ὑπεράνω.
Επέρασος. ἐράσμιος. πολυπόθητος. ἐρᾶν γὰρ τὸ ἐπιθυμεῖν.
Επείγω. τὸ σπουδάζω καὶ κατεπείγω.
Επεί. σύνδεσμος. ὁ συναπτικὸς δῆλον τὸ ἐπειδή.
Επέχε. ἐπίμενε. φύλασσον.
Επει. ἐπίρρημα τοπικὸν ἀντὶ τοῦ ἀφ' οὗ.
Επη. ῥήματα. λόγοι. ἢ βοσινόμεν λοιπόν.
Επέτειον. ἐπὶ τοῦ νῦν ἔτους. ἔτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρόν.
Επεπώλητο. ἐπεπόρευτο.

Επινήνοθεν. ἐπεσώρευσεν.
Επεκορτόμει. ἐχλεύαζεν. ἐσκοπτεν. ἠρέθιζεν.
Επαχθισμένος. βάρος βαστάζοντος.
Επισπεῖν. ἐπακολουθοῦντως ἔχειν
Επιπλα. ἱματία. ἢ μαφόρια.
Επεσβόλος. ὁ φλύαρος. καὶ λοίδορος. ὁ διὰ τῶν ἐπῶν λαβῶν. τουτέστι ὑβρίζων. ἐπεσλώβος καὶ κατὰ ἐναλλαγὴν ἐπεσβόλος.
Επεφοίτησε: παρεγίνετο.
Επεφοιτῶντο. ἐπήρχοντο.
Επεφνεν. ἀνεῖλεν. ἀπέκτεινεν.
Επεθίαζεν. ἐχόρευεν. ἐθαύμαζεν.
Επενήχετο. ἐπεκολύμβα. ἐπεφέρετο.
Επέθεντο. ἐπανέστησαν.
Επέσκοπτεν. ἐμέμφετο
Επετόθασεν. ἐπανέβη. ἐπεῖχεν. ἐπέχαρεν.
Επεμπόλουν. ἐκέρδανον.
Επέκεινα. πόρρω. μεῖζον.
Επελήσθην. ἐληθαργήθην.
Επέβλεψεν. ἐκ τοῦ ἐπιβλέψαι. τοῦτο παρὰ τὸ βάλλειν τοὺς ὦπας.
Επεστράτευσαν. ἐπέδραμον. ἐπολέμησαν.
Επευκτή. ἐπιθυμητή. εὐχῆς ἄξια.
Επέσταζεν. ἔρρωσεν.
Επειρῶντο. ἐπεχείρουν. ἐπείραζον.
Επερειδόμενος. ἐπεστηριζόμενος.
Επειτα. μετὰ ταῦτα. ἀντὶ τοῦ εἶτα δή.

Ἐπιλημμένη. κρατοῦσα. δραξαμένη.

Ἐπήρεια. κυρίως ἡ ἐν τῷ πολέμῳ καταδρομή. ἄρης γὰρ ὁ πόλεμος. καὶ ἡ ἐμπειρία. λέγεται καὶ ἡ ζημία.

Ἐπιγονατίς. διὰ τὸ ἐπὶ τοῦ γόνατος κεῖσθαι.

Ἐπιβάλλειν. ἐπιτιθέναι.

Ἐπίβασιν. βάδισιν.

Ἐπιβάτης. ἐπὶ ἅρματος. ἀναβάτης ἐπὶ ἵππου.

Ἐπιβολή. ὁμιλία. συνήθεια πρόστιμον. ζημία. προσθήκη.

Ἐπιδέξια. ἄριστα. καλά.

Ἐπηρτημένος. ἐπικρεμάμενος.

Ἐπήλυσις. πρόφασις.

Ἐπείγετο. ἐφέρετο.

Ἐπήνιος. παραθαλάσσιος τόπος.

Ἐπιτροπεύω. διοικῶ.

Ἔπηλυς. ἐξ ἄλλου τόπου εἰς ἄλλον τόπον ἐλθών. ξένος.

Ἐπιρρωννύς. ἐνισχύων.

Ἐπίπονον. καματήριον.

Ἐπηράτου. ἐπεράστου. καλῆς.

Ἐπισφαλῶς. ἐπικινδύνως.

Ἐπιθάτερα. ἐπὶ τὰ ἕτερα.

Ἐπὶ τὰ πρόσω. ἐπὶ τὰ ἔμπρος.

Ἐπιτροχάδην. ταχέως καὶ συντόμως.

Ἐπιστημονικώτατος. τεχνικώτατος. ἀκριβής. εὑρητής, σοφός.

Ἐπιπολέως. ἐπὶ πρόσωπον ἐπάνω.

Ἐπιτειχίζει. ἐποικοδομεῖ.

Επίκουρος. σύμμαχος. βοηθός. ὁ τὸ προσῆκον ποιῶν.

Επιθολοῖ. ἐπισκοτοῖ. ταράττει.

Επιεικής. πρᾶος.

Επιείκεια. πραότης.

Επιβάλλουσα. ἁρμόζουσα.

Επιβάλλειν. ἐπὶ τὸ πρέπον βαλεῖν.

Επίρρητοι. αἰσχροί. καταγνώσεως ἄξιοι.

Επιληψία. νόσος. διὰ τὸ ἐπιλαμβάνεσθαι. καὶ κρατεῖσθαι αὐτὴν τὰς αἰσθήσεις.

Επίδοσις. αὔξησις.

Επίπλους. ἀπὸ τοῦ ἐπιπλεῖν καὶ ἐπιπολῆς εἶναι τῶν σαρκῶν. σημαίνει δὲ τὴν τζιπ(?) τῆς κοιλίας.

Επιέναι. ἐπελθεῖν. ἐπέρχεσθαι.

Επιτομή. συντομία.

Επιβρίθων. ἐπιβαρῶν. εὐθύνων.

Επιπολάζει. ἐπιπλέει.

Επιφοιτᾶ. παραγίνεται.

Επιφοίτα. παραγίνου.

Επιτολῆς. ἀνατολῆς. ἄστρου φαύσεως.

Επίκηρα. ἐπιθανάτια. κὴρ γὰρ ὁ θάνατος.

Επιδεᾶ. ἐνδεῆ. ἢ ἐλλιπῆ.

Επιτάρροθος. βοηθός.

Επιξύρου. ἐπικινδύνου. ἐν αὐτῇ τοῦ πράγματος ἐπιτάσει.

Επιεικές. καθῆκον. πρέπον. προσῆκον.

Επιδρομάδης. παρέργως. κατὰ σπουδήν.

Επιρρώννυμι. ἰσχυροποιῶ.

Επικήδιον. ἐπιθανάτιον.

Επικαίρου. εὐκαίρως. ἁρμοδίως.

Επικυδέστερος. ἐπικρατέστερος. νικητικὸς ἢ ἐνδοξότερος. κῦδος γὰρ ἡ δόξα.

Επιστητάς. γινωσκομένας.

Επικηρυκεύεται. διὰ κήρυκος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖται.

Επικηρυκεύεται. διὰ κήρυκος.

Επικόρσης. ἐπὶ κεφαλῆς ἢ γνάθου.

Επιστήμων. γνωστικός.

Επικαγχλάζων. ἐπιγελῶν. ἀκόσμως.

Επίνοια. ἐπιννοιάτης καὶ ἐπινθύμησις.

Επιπάστρον. πρόστεγον. καταπίπασμα.

Επινέμησις. καλεῖται ἑλληνιστὶ ἡ κατὰ τὸν σεπτέμβριον μῆνα ἀρχὴ τοῦ ἐνιαυτοῦ. διὰ τὸ ἐπιμερίζεσθαι τοῖς στρατιώταις τὸν φόρον τὴν ἐπωνυμίαν ἔχειν ἡ τοῦ ἐνιαυτοῦ περίοδος ἐπινέμησις.

Επιρροὴν. ἐπίρροιαν ὑδάτων.

Επιδικάζεται. ἀντιποιεῖται.

Επίπεδον. ἐπὶ τὴν γῆν χαμαίζηλον.

Επίπροσθεν. τοῦ θυσιαστηρίου.

Επιδορατὶς. ὁ σίδηρος τοῦ ἀκοντίου τοῦ ἄνω μέρους.

Επίστασις. πολλὴ φροντίς.

Επίστη. οἶδας. ἐπίστημι. ὡς εἰς ἐπίστασιν ἄγουσα τὸν νοῦν φησι ὁ πορφυρίων.

Επὶ χώρας. ἐπὶ τόπου.

Ἐπίσημος. ἐπιφανής. ἔνδοξος.

Ἐπιστῆ. ἐπισυναχθῆ.

Ἐπιόντι. μέλλοντι. ἐρχομένῳ.

Ἐπιτύξῃ. ἐπιτύχεις.

Ἐπίπληξις. ἐπιτίμησις.

Ἐπισπέρχῃ. ἐπισπουδάζει. ἐπιπλήττει.

Ἐπιφυλλίς. ῥωπολογίας. ἢ τὸ μικρὸν βοτρίδιον.

Ἐπιχῶν. κρατήσας. ἢ ἐπιμείνας.

Ἐπὶ χθονί. ἐπὶ τῇ γῇ

Ἐπιθειάσας. ἐπιθαυμάσας. τὸ θεῖον εἰσδεδεγμένος. θεοφορηθείς.

Ἐπὶ σκηνῆς. ἐπὶ θεάτρου.

Ἐπιούσιον ἄρτον. τὸν ἐπὶ τῇ οὐσίᾳ ἡμῶν ἁρμόζοντα.

Ἐπλήσθη. ἐγεμίσθη.

Ἐπλει. ἔπλειεν. ἐπιμίξ. ἀναμεμιγμένως

Ἐπικιρτομῶν. ἐπισκόπων.

Ἐπιτωθάζων. χλευάζων.

Ἐπιπλώσας. ἐπιπλεύσας

Ἐπιτήδης. ὁ ἐπιτηδευτής. σημαίνει δὲ καὶ τὸν ἄφοβον.

Ἐπεστεῖλαι. καὶ ἐπισκῆψαι διαφέρει. ἐπιστεῖλαι μὲν γὰρ διὰ γραμμάτων. ἐπισκῆψαι δὲ διὰ λόγων.

Ἐπίσκοπος. ὁ ἐπὶ τὰ σκοπῶν ὤν. τουτέστι φύλαξ. κατάσκοπος.

Ἐπὶ τὸ αὐτό. ἐπίῤῥημα τοπικόν. ἢ ἀθρόιστως. καὶ συλλ.

Επιτάφιος. ὁ λόγος ὁ ἐπάνω τοῦ τάφου λεγόμενος. ἐγκωμιαστικὸς. παρ' αὐτῇ τῇ ταφῇ.

Επίτηδες. ἐπιτηδείως.

Επιτηδεύει. ποιεῖ. τεχνάζεται.

Επισαυχλεῖ. εἰσφέρει. ἐπισυνάπτει.

Επιπνοίας. ἐμπνεύσεως.

Επιῤῥεπῶς. ἐπικλινῶς. ἐπιβαρῶς.

Επισκήψω. σημειώσωμεν. ἐπιστήσω τὸν νοῦν.

Επιφοίτησις. ἔλευσις. παρουσία.

Επίῤῥιπος. ἐπὶ ψιάθου.

Επιψάων. ἁπτόμενος.

Επικωμάσαι. ὀρχῆσαι. ἢ λαλῆσαι αἰσχρά.

Επίξορα. ἔμπειρον.

Επιπροθεῖ. ἐπισκιάζει. ἐκ τῶν ἔμπροσθεν ὑπερανέχει.

Εποτρύνει. παροξύνει. ἐποξύνει.

Εποχούμενος. βασταζόμενος.

Επόμενοι. ἀκολουθοῦντες.

Εποιτο. ἀκολουθήσει.

Επος. ῥῆμα. λόγος.

Επίχειρα. κυρίως τὰ τοῖς ἐργαζομένοις ἐπὶ ταῖς χερσὶ διδόμενα. οὐ πάντως λόγῳ μισθοῦ. ἀλλ' οἷον. καὶ ἄλλα τινά.

Επριάτο. ἠγόραζε.

Επρήξας. ἔπραξας.

Επιη. ἐπιτάθη.

Επιτήδιος. εὔκαιρος. ἀγαθὸς. δέξιος καὶ συνήθως.

Επταικῶς. παίσας. σφαλεὶς.

Ἐπιέρνηκεν. ἐσφάλλησε. παρελογίσατο.

Ἐπύθετο. ἤκουεν. ἐρωτήσας. ἐμάνθανεν.

Ἐπωάζουσιν. ἐπὶ τοῖς ὠοῖς ἐπικάθηνται.

Ἐπιφοιτήσεως. ἐπελεύσεως.

Ἐπιπρηνής. ἐπ᾽ ὄψιν. ἐπὶ πρόσωπον.

Ἐπίκληρος. ἡ ἐν οὐσίᾳ τρεφομένη κόρη. ἡ δέσποινα

Ἐπικώμιος. ὑβριστής.

Ἐπιτιμήτωρ. ἔφορος.

Ἐπλήγην. ἐμάνην.

Ἔπλετο. ἐγένετο.

Ἐποίσει. ἐπενέγκαι.

Ἐπολυώρησας. πολὺ ἐφύλαξας.

Ἐπουδόν. ἐπὶ πρόθυρον.

Ἐπισκοτίζεται. σκοτίζεται.

Ἐποχέεσθαι. ἐπιφέρεσθαι.

Ἔπορεν. ἔδωκεν.

Ἐποιχθήσεται. ἐπεχθήσεται

Ἔπουσιν. ἐνεργοῦσι. λέγουσι.

Ἐποπτείας. θεωρίας.

Ἐποφείλεται. ὑπόκειται.

Ἔπρησα. ἔκαυσα

Ἐπταικυῖα. σφαλεῖσα.

Ἐποχήν. κατοχήν. κατοσίαν.

Ἐπορώθησαν. ἐτυφλώθησαν.

Ἐπώχετο. ἐπορεύετο.

Επῶν. λόγων.
Επωμαδῶν. ἐπὶ τῶν ὤμων.
Επω σημαίνει β', τὸ λέγω καὶ τὸ ἀκολουθῶ.
Εραστὴς. ἐπιθυμητὴς. φιλητής.
Εργον. γεώργιον.
Ερανος. ἐκ συνεισφορᾶς κέρδος. ἡ συλλογὴ ἐντολή.
Ερανος. ἡ ἐκ πολλῶν εἰς ἓν γενομένη εὐωχία
Ερᾶ. ἐπιθυμεῖ.
Ερα. ἡ γῆ.
Ερανος. τὸ ἐκ πολλῶν λαβεῖν.
Ερανίζεται. συλλέγει. συνάγει.
Εραζε. χαμαὶ. εἰς τὴν γῆν.
Εράσμιος. ποθινός.
Εραται. ἐπιθυμεῖ. γλίχεται.
Εργμάτων. πραγμάτων.
Εργοδέστερος. δυσκαταλειπτότερος. ἡ σπουδαιότερος.
Ερδον. ἐπιτέλουν.
Ερδοι. πράττοι.
Ερίζειν. στηρίζειν.
Ερίζω. τὸ φιλονεικῶ.
Εριώμεν. ἐρωτήσωμεν.
Ερεξεν. ἔπραξεν.
Ερεβος. σκότος ὁ πρὸ τοῦ ταρτάρου τόπος.
Ερέφω. τὸ σκεπάζω
Ερῶν. ἐπιθυμῶν. ἐφιέμενος.

Ερδω. σημαίνει β. τὸ ποτίζω καὶ τὸ πράττω.

Ερεθίζω. παροξύνω. παρὰ τὸ ἐρέθω γίνεται τῷ παροξυτόνῳ

Ερεθεν. ἐμυκτήριζεν.

Ερείδω. καὶ ἐπερείδω. τὸ στηρίζω.

Ερείνω. τὸ λέγω.

Ερυσίβη. τὸ ἐκ τοῦ ἀέρος καὶ τῆς πάχνης ἐπιγινόμενον φθαρτικὸν τῶν καρπῶν.

Εριχελεῖν. διαπαίζειν.

Ερετμοί. κῶπαι.

Ερεβόθεν. ἐκ τοῦ σκότους.

Ερεχθομένην. βαρυνομένην

Ερεθισμὸς. παροξυσμός

Ερευθον. πυῤῥὸν. κόκκινον.

Ερεξα. ἔπραξα.

Ερεχελεῖ. φλυαρεῖ.

Ερεχελίας. φιλονεικίας. ~~...~~ ἔριν τοῖς χείλεσιν ἔχειν.

Ερεσθαι. ἐρωτᾶν.

Ερήσομαι. ἐρωτήσω. λέγομαι.

Ερεθίζουσα. παροξύνουσα.

Ερίτης. κωπηλάτης

Ερεβεννὴ. σκοτεινή.

Ερήρισθαι. ἡδράσθαι. πέπηγεν. ἥρμοσαι.

Ερητύειν. παρασκευάζειν.

Εριννύων. τιμωρῶν. δαιμόνων.

Εριννὺς. δαίμων. τιμωρητικός.

Ερήμη. δίκη. ὅταν μὴ παρόντων ἑκατέρων τῶν μερῶν. ὁ δικαστὴς τὴν ψῆφον ἐνέγκει.
Ερείδω. τὸ ἐπακουμβίζω.
Ερείκη. ἐστιν εἶδος δένδρου εὐχερῶς χαζομένου.
Ερημία. σπάνη. ἀπορία.
Ερικνωμένον. ῥυτίδας ἔχον.
Εριπίσθη. κατέπεσεν.
Ερικτὰ. χιστὰ ἄλευρα. ἤγουν τὰ ἀληθόμενα ὄσπρια.
Ερευμνα. ζήτησις.
Ερινεὸς. ἀγρία συκῆ.
Ερίνεον. σῦκον ἀπὸ τοῦ ἐρινέου τῆς θετταλίας ὅπως. πρότερον ὤφθη.
Ερωή. ἡ ὁρμή. κυρίως καὶ μετὰ λήψεως ἡ ἰχύς.
Εριθοι. ἐργάται. γερδίαι. λέγονται καὶ οἱ τὴν γῆν τῷ μισθῷ ἐργαζόμενοι.
Ερειδόμενος. στηριζόμενος.
Ερινυς. δαίμων καταχθόνιος.
Εριηρες. ἑταῖροι.
Ερις. ἡ διὰ λόγων φιλονικία. μάχη δὲ ἡ ἐπὶ τοῦ τρέχειν.
Ερις. λέγεται ὅταν τις ὑπὲρ τοῦ μὴ ἔλαττον φανῆναι τινος σπουδάζει ποιεῖν τι. ἐρίθια δὲ. τὸ ἐξ ὧν τις ποιεῖ, ἐπιδεικτικῶς ἢ κενοδόξως. προσκαλεῖσθαι καὶ ἐρεθίζων καὶ ἄλλους εἰς τὰ ὅμοια.
Ερίσαντες. φιλονεικήσαντες.

Ερίπιον. τὸ ἡμίπτωτον σχῆμα.
Εριδαίνιτο. ἐφιλονείκη.
Εριθίαι. καταλαλίαι. κακολογίαι.
Ερειδόμενοι. ἐπιβαροῦντες.
Εριθοι. νῦν οἱ γεωργοί. ἀπὸ ἐργάζεσθαι τὴν ἔραν. τουτέστι τὴν γῆν.
Ερίψιμα. πτώσιμα.
Εριπίων. πτώστων. τείχων.
Ερίπνη. ὑψηλὸν μέρος.
Εριπνος. ὑψηλὸς τόπος.
Ερίπναι. σηραγγώδεις καὶ παραπτάμενοι τόποι. δι᾽ ὧν μεγάλαι πνοαὶ εἰσδύνουσιν.
Εριον. τὸ μαλλίον.
Ερίθοις. γερδίαις. ἢ τοῖς τὰ ἔρια ἐργαζομένοις.
Ερμαῖος. λόφος. τόπου ὄνομα. εἰώθησαν γὰρ οἱ παλαιοὶ σωροὺς ἐκ λίθων ποιεῖν. οὓς ἐκάλουν ἑρμαίας.
Ερματα. ἐνώτια.
Ερμίας. ὁ θεὸς. καὶ ὁ τοῦ λόγου ἡγούμενος.
Ερμαιον. ἐπικερδὲς εὕρημα.
Ερκιον. τεῖχιον.
Ερκος. τεῖχος. ἀσφάλεια. περίβολος.
Εροιτο. ἐρωτήσει.
Ερνος. στέλεχος. κλάδος. βλάστημα. πίκνον.
Ερνεα. ἔρνη. βλαστήματα.
Ερωμένω. ἐρωτοῦντι. ἐπιθυμοῦντι.
Ερίτιμος. μεγαλότιμος.

Ἕρπει. τῇ κοιλίᾳ βαδίζει.
Ἐῤῥίπτο. ἔκειτο. ἐβέβλητο.
Ἐῤῥῶσθαι. φράσας. κατεγνωκώς.
Ἐῤῥωμενέστερον. ἀνδρειότερον. ὑγιιότερον. ὀχυρότερον. βραδύτερον.
Ἐῤῥύψατο. ἀπεκαθήρατο. ἐπεκλύσατο.
Ἐρυμνότατον. χαλεπότατον.
Ἐρύουσιν. ἕλκουσιν.
Ἐρυμνός. τόπος στενός. καὶ ἰσχυρός.
Ἐρυμνῆν. ἠσφαλισμένην.
Ἐρύκων. κωλύων.
Ἔρυτο. ἐῤῥύσατο.
Ἐῤῥώγασιν. ἐσχίσθησαν.
Ἔῤῥωσο ἐν κυρίῳ. ὑγίενε ἐν κυρίῳ.
Ἐρωήσει. ῥεύσει.
Ἐρῶ. λέγω.
Ἐρομένους. ἐρωτῶντας.
Ἐῤῥάγη. διεσχίσθη.
Ἐῤῥέθη. ἐλαλήθη.
Ἔροσους. ὁ ἐν ὕδατι πεπνιγμένος.
Ἐρσήεντα. δροσώδη. νεαρόν.
Ἐρυθαίνει. ἐρυθρόν. πυῤῥὸν ποιεῖ. ὅθεν καὶ ἐρύθημα ἡ ῥίζα ἡ λεγομένη ἐρυθρόδανον.
Ἔρυμα. φρούριον. ἀσφάλισμα. λέγεται καὶ τὸ κώλυμα.
Ἔρος. ὁ πόθος.

Ερυθμήσειν. ἐκανόνησε. διετύπωσε.
Ερωμένην. ἀγαπωμένην. ποθουμένην.
Ἐῤῥωμένους. ἐρωτῶντας.
Ερῶμαστ. ἐρωτήσωσι.
Ερώμεθα. ἠρωτήσαμεν.
Εσαώθην. ἐσώθην.
Ες ἀεὶ. εἰς ἀεὶ. διαπαντός.
Ες δ᾽ ἄγε. εἰσάγαγε.
Ερωήσει. ὑποχωρήσει. ὁρμήσει. διώξει. καταπαύσει
Ερωή. ἡ ὁρμή.
Ες δῆριν. εἰς μάχην.
Εσσεσθαι. γενήσεσθαι.
Εσδεκάδας. εἰς δεκαρχίαν. εἰς δεκανίας.
Εσεβάσθησαν. σεβάσματι προσεκύνησαν.
Ερος. καὶ πόθος διαφέρει. ἔρος μὲν γὰρ τῶν παρόντων πόθος δὲ τῶν ἀπόντων.
Ερόμενος. καὶ ἐρώμενος διαφέρει. ἐρόμενος ἐρωτῶν ἐρώμενος δὲ ἐπιθυμῶν.
Εσθής. ἱμάτιον.
Εσθλά. ἀγαθά.
Εσήλατο. εἰσεπήδησεν. εἰσῆλθεν.
Εσῃ. γίνῃ. ἤτοι γενήσῃ.
Εσθος. ἱμάτιον.
Εσθιῶν. τρώγων. ἐσθίων.
Εσθ᾽ ὅτε. ἴσως. ἐνίοτε.

Εσοπτρον. ἐκ τῆς εἰς προθέσεως καὶ τοῦ ὄπτω ὃ σημαίνει τὸ βλέπω.

Εστεργεν. ἔστεργεν. ὑπέμεινεν. ἠγάπα.

Εστία. πολλὰ σημαίνει. ὄνομα θεᾶς. καὶ τὴν οἰκίαν. τὸ πῦρ. καὶ τὸν τόπον ὅπου τὸ πῦρ. καὶ τὴν πυρὰν. καὶ τὸν βωμὸν. καὶ τὸν ἄνθρωπον. καὶ πυροστάτην. καὶ τὴν εὐωχίαν.

Εσκευώρησεν. κατεσκεύασεν. ἔβλαψεν. ἐπεβούλευσε.

Εσσία. ἡ πρεσβεία.

Ες κόρακας. εἰς τὸ σκότος. εἰς ὄλεθρον.

Εσκάλευσεν. ἐκινεῖτο. ἀνελογίζετο.

Εσκήνωσεν. ᾤκησεν.

Εσκίδνατο. ἐσκεδάζετο. ἐσκορπίζετο.

Εσμὸν. πληθὺν. ὄχλον συναθροισμόν.

Εσχεν. ὑπῆρχεν.

Εσοφίζατο. ἐτεχνάσατο.

Εσο. γίνου.

Εσκέψαντο. ἔγνωσαν.

Εσκέδασεν. ἐσκόρπισεν.

Εσμὸς. κυρίως τῶν μελισσῶν τὸ πλῆθος

Εσομένους. γενησομένους.

Εστω. γενέσθω.

Εσμιλευομένος. μεταχειρομένος.

Εσαῦθις. εἰς τὸ μέλλον.

Εσπεισαν. προσήνεγκαν.

Εσπρον. κέλευθον.
Εσπέριον. ἐπὶ δυσμαῖς ὁδός.
Εσσεύοντο. ὥρμουν. ἐδίωχον.
Εσπάσατο. εἵλκυσε.
Εσπαργάνωσε. περιετύλιξεν. ἔδησεν. ἔσφιγξε πρὸς τὴν ζώνην.
Εσπερίων. τῶν οἰκούντων τὴν δύσιν.
Εστηλώθη. ἐπάγη. ἱδρύθη.
Εστιατορίαν. εὐωχίαν.
Εστιᾶν. τρέφειν. καλλωπίζειν.
Εστιάτωρ. καὶ δαιτυμὼν διαφέρει. ἑστιάτωρ μὲν ὁ εἰς εὐωχίαν καλῶν. καὶ εἰς εὐφροσύνην. δαιτυμόνες δὲ οἱ ἀριστῶντες.
Εστορέσθη. ἐρρώθη. ὡμαλίσθη.
Εστορος. ὁ πάσσαλος.
Ες ὃ ἄν. ἕως οὗ. ἕως ὅτ᾽ ἄν.
Εστιάθη. εὐωχήθη. ηὐφράνθη.
Εστία. οἰκία καὶ ἐσχάρα.
Εστε. τὸ πληθυντικὸν β΄ προσώπου τοῦ ἑνικοῦ.
Εσφήκοντο. καταπεπληγμένοι ἦσαν καὶ συνεσφιγμένοι.
Εσφάδαζον. ἐπόνουν. συνεκόπτοντο.
Εσπευσεν. ἐτάχυνεν.
Εσχατιά. ὁ ἀγρός. ἢ τὸ ἔσχατον μέρος τοῦ ἀγροῦ. ἐρημία.
Εσχατείας. ἐσχάτου τόπου. ἐσχατιᾶς δὲ. ἐσχάτης τάξεως.
Εσώρευσε. γαλήνην ἐποίησεν. ἠρέμησεν. ἠσώρευσεν.
Εσχεδίασεν. ἐκ ταυτομάτου. μετὰ σπουδῆς. χωρὶς σκέψεως. ἔνθεν καὶ σχεδάριον λέλεκται τὸ τοῖς γραφεῦσι μετὰ σπουδῆς ἐκδιδόμενον.

Εὐίασις. εὐφροσύνη. χαρά.
Ἐχαρίτην. τὸ ψωμίον ἀπὸ κλιβάνου.
Ἔχε. κατέπαυσε.
Ἐσχάρα. ἡ οἰκία καὶ χυτρόπους. ἢ πυρόφορον σκεῦος ἐπ' ἐδάφους ἀνθρακίας.
Ἐσκεδασμένον. ἐσκορπισμένον.
Ἐχόμενος. κρατούμενος.
Ἔχος. τὸ ἀπρεπές.
Ἐχέθη. ἐκρατήθη.
Ἐτάζω. σημαίνει τὴν ἀλήθειαν ἀνακρίνεσθαι.
Ἐταλάνισα. ἄθλιον ἀπεκάλεσα. ταλαίπωρον
Ἑταῖρος. φίλος.
Ἑταίρα. φίλη. πόρνη
Ἑταιρογεννήτ. πορνογεννήτ.
Ἑταιρεία. ἐστὶ φιλία. κατὰ συνήθειαν τοῖς καθ' ἡλικίαν γεγεννημένοις.
Ἑταιρήσας. πορνεύσας.
Ἑταιρίδες. πόρναι.
Ἕτερος καὶ φίλος διαφέρει. ὁ μὲν φίλος καὶ ἑταῖρος. ὁ δὲ ἕτερος οὐ πάντως καὶ φίλος.
Ἑταῖροι. οἱ σύμπλοοι. καὶ συναῦται.
Ἕτερος καὶ ἄλλος διαφέρει. ἕτερος μὲν γὰρ ἐπὶ δύο. ἄλλος δὲ ἐπὶ πολλῶν.
Ἑταῖρος. ὁ προσφιλής.
Ἑταῖρον. σημαίνει γ. τὸν ἴδιον. τὸν φίλον. καὶ τὸν ἀλλότριον. καὶ τὰ μὲν δύο διὰ τοῦ ηραπλοῦ. τὸ δὲ ἓν διὰ τοῦ ε.

Εταιριζομένη. ερεθιζομένη. προσπαίζουσα πρὸς πορνείαν.

Εταιριστρίαι. τριβάδες.

Ετειρεν. κατεπόνει.

Ετερέτιζε. μέλος ἔλεγε

Ετεροφυές. ἀλλοφυές.

Ετερήμερος. ὁ μίαν παρὰ μίαν ἡμέραν.

Ετεροδοξία. τὸ ἄλλως δοξάζειν. ἤπερ ὡς ἔχει ἀλήθεια.

Ετερῶθεν. ἀλλαχόθεν. ἢ ἐκ τοῦ ἑτέρου μέρους.

Ετόθαζον. ἔσκοπτον. διέσυρον.

Ετεόν. τὸ ἀληθές

Ετεροίως. ἀλλοίως. ἄλλως πῶς.

Ετέρωθι. ἀλλαχοῦ.

Ετέρωσε. εἰς τὸ ἕτερον μέρος.

Ετελέσθησαν. ἐμιάνθησαν. μετέχον τῆς μιαρᾶς θυσίας.

Ετερόφθαλμος. μονόφθαλμος. ὥσπερ καὶ ἑτερόκωφος. ὁ τὴν θατέραν τῶν ἀκοῶν βεβλαμμένος.

Ετετάχατο. ἐτέτακτο.

Ετεκτήναντο. κατεσκεύασαν.

Ετήτυμος. ἀληθής.

Ετήτυμον. ἀληθές. καὶ ἀληθῶς.

Ετησίας. τοὺς κατ᾽ ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρης πνέοντας ἀνέμους.

Ετημέλησεν. ἐφρόντισε.

Ετηρεν. κατεπόνησε.

Επι. ἀκμήν.

Επίπρωσκον. ἔβαλλον τοῖς τοξεύμασιν. ἢ ταῖς λόγχαις.

Επίσατο. ἐτιμωρήσατο.

Επσιν. ἐτιμήσατο.

Ετλης. ὑπέμεινας.

Ετνη. εἶδος ὀσπρίου τὸ καλούμενον πισάριον. ἔστι δὲ καὶ ἐν σικελίᾳ ὄρος οὕτω καλούμενον. ὅθεν τὸ πῦρ ὡς ὕδωρ ἐκρεῖ. ὅπερ διὰ τοῦ αι διφθόγγου γράφεται αἴτνη.

Ετόπασαν. ὑπενόησαν.

Ετόρευσεν. ἔτρωσεν.

Ετοίμως. ταχέως.

Ετοιμάσατε. παρασκευάσατε.

Ετοιμος. σημαίνει β. τὸν πρόχειρον καὶ τὸν ἀληθῆ.

Ετυμολογία. ἐστιν ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης. ἐξ αὐτοῦ τοῦ ὀνόματος ἑρμηνευομένης.

Ετύθη. ἐσφάγη.

Ετρύχοντο. ἐταλαιπώρουν. κατεπονοῦντο.

Ετρίψατο. νενίκηκεν. ἐφυγάδευσεν.

Ετυρώθη. ἐτρεφοφόρησεν. ἔθρεψεν. ἐπιθυνήσατο.

Ετυμπανίσθησαν. ἐκρεμάσθησαν. ἐξεδάρησαν. ἀπεκεφαλίσθησαν.

Ετύχθη. ἐγένετο. κατεσκευάσθη.

Ετώσια. μάταια. ἄπρακτα.

Ευάγωγον. εὐχερές.
Ευνος. ὃ φάβα οἱ ἰδιῶται λέγουσι.
Ευωροι. ἀπαραφύλακτοι. ἀμελεῖς.
Ευβοϊκόν. νόμισμα
Ευαφές. εὐμάλακτον. ἀψηλάφητον.
Ευαγές. ἁγνόν. εὐσεβές. ὅσιον. θειότατον.
Ευαγοῦς. ὁσιοτάτης.
Ευαγγέλιον. λόγος ἀγαθῶν πραγμάτων ἔχων δήλωσιν.
Ευαρνῶν. εὐανθῶν.
Ευ ἂν ἔχοι. καλῶς ἂν ἔχοι.
Ευκτῶς. ὑγιῶς.
Ευαπόδεικτος. φανερός. καλὸς ἀποδειγμένος.
Ευανδρίας. καλῆς ἰσχύτητος. γενναιότητος.
Ευαγγέλιον. ἐστι ἀγαθοῦ τινος ἀγγελία.
Ευαγγελιστής. ὁ τὸ εὖ ἀγγέλλων ὑμῖν ἤγουν καλόν.
Ευαδεν. ἤρεσεν. τὴν πρώτην συλλαβὴν ψιλωτέον.
Ευβεβηκότα. εὐσταθῆ. ἑδραῖα
Ευβοτος. εὔτροφος. καλὰ βοσκήματα ἔχων.
Ευβουλία. ἐστιν ἀρετὴ λογισμοῦ σύμφυτος.
Ευβούλους. συνετούς.
Ευγνωστος. καλῶς γινωσκόμενος.
Ευγε. καλῶς γε. ὁσίως. λέγεται δὲ καὶ ἐπὶ εἰρωνίας
ἀντὶ τοῦ ἐπιχλεύης.
Ευάντητος. καλῶς ὑπαντῶν.
Ευγνωμοσύνη. εὔνοια. γνησιότης.

Ευδοκία. ἐστιν εὐθυμία ψυχῆς. καὶ αἱρετισμός.
Ευγηρότατος. καλὸς γέρων ἀξιοτίμητος.
Ευδαιμονεῖ. εὐπράττει.
Ευδαιμονῶ. σημαίνει τὸ καλῶς γινώσκω πάντα. τὸ καλῶς πιστεύω. τὸ καλῶς κατασκευάζω. τὸ καλῶς ζῶ. τὸ εὐτυχῶς. τὸ δαψιλῶς τρέφομαι καὶ πλουσίως. ἐξ οὗ καὶ εὐδαιμονία. ἡ εὐτυχία. καὶ ὁ πλοῦτος. καὶ τὸ μακαρίως.
Ευδοκία. βούλησις. παρὰ τὸ καλῶς καὶ εὖ δεδόχθαι. εὐδοκία ἐστιν ἡ ἀρίστη καὶ καλλίστη τοῦ θεοῦ ἑκούσιος θέλησις. λέγεται δὲ καὶ καταλλαγή. ὡς ὅταν λέγωμεν. δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία
Ευδόκησεν. ἠθέλησεν. ἐπεθύμησεν. ἠράσθη.
Ευδοντι. κοιμωμένῳ. καθεύδοντι.
Ευδρῶσι. καλῶς πράττουσι.
Ευδαίμων. εὐτυχής. πλούσιος. μακαριότητος.
Ευδιάβολον. διαβολῆς ἄξιον.
Ευδμητον. καλῶς οἰκοδομουμένον.
Ευδινά. πραεία. καπσαλμένα.
Ευερνής. βλαστὸς. καλός.
Ευηκτα. εὐπειθῆ. καλῶς ἥκοντα. εὐχερῆ. εὔθετα.
Ευδίνητον. εὔστροφον.
Ευετηρία. εἰρήνη. εὐθηνία. εὐνομία. τὸ καλῶς διάκεισθαι.
Ευέκτης. ὁ πλούσιος.
Ευεκτικῶς. ἑκτικῶς. ἐπιτηδείως.

Ευεπὲς. εὔλαλον.
Ευέμπλωτος. εὐχερῶς πίπλων.
Ευεκτεῖ. εὐρωστεῖ. ὑγιάινει.
Ευεργετικὸν. ἀγαθοποιὸν.
Ευζωρον. εὐκέρασον.
Ευζωνοι. εὔοπλοι.
Ευηθες. ἀνόητον. μωρόν.
Ευήθης. ἤθοτε μωρὸς καὶ ἀνέσθητος καὶ ἄνους. ἤθοτε καὶ χρηστός.
Ευήθης βλὰξ. ἀνόητος. ἢ ἀχρηστοήθης. κακοήθης.
Ευηθείας. ἀνοίας. μωρίας.
Ευμηγορεῖ. καλῶς λέγει.
Ευεξία. εὐρωστία. ὑγεία σώματος.
Ευήνυτα. εὐκατόρθωτα.
Ευηνία. εὐπειθῆ. καλῶς ἡνιοχούμενα. ἡνίαι γὰρ τὰ λῶρα.
Ευήνεμος. εὔδιος. ἀχείμαστος.
Ευδον. ἔλεγον.
Ευθύνω. σημαίνει ζ. εὐθύνω παρὰ τὸ εὖ μόριον καὶ τὸ θύω τὸ ὁρμῶ. καὶ τὸ ἐξισῶ καὶ κανονίζω. ἐξ οὗ καὶ εὐθύτης καὶ εὐθύνατε τὴν ὁδὸν κυρίου. καὶ κατεύθυνον τὴν ὁδὸν καὶ κατευθύνατε. εὐθύνω τὸ ὁμοιῶ. ἐξ οὗ καὶ εὐθύτης ἡ ὁμοίωσις. εὐθύνω τὸ ἐλέγχω. ἐξ οὗ καὶ εὐθύνη ἡ ἔλεγξις. εὐθύνω τὸ κρίνω. ἐξ οὗ καὶ εὐθύνη ἡ κρίσις. εὐθύνω τὸ τιμωρῶ. ἐξ οὗ καὶ εὐθύνη ἡ τιμωρία. εὐθύνω τὸ καταδικάζω. ἐξ οὗ καὶ εὐθύνη ἡ καταδίκη.

εὐθύνω τὸ ἀπολογοῦμαι. ἐξ οὗ καὶ εὐθύνη ἡ ἀπολογία.
Εὐθύνας. δίκας. τιμωρίας.
Εὐθύνουσι. δίκας εἰσπράττουσι.
Εὐθύνειν. ἐλέγχειν.
Εὐθύμους. εὐψύχους.
Εὔθυνος. ὁ ὑπεύθυνος
Εὐθύνοιτο. κρίνοιτο.
Εὐθυεπίαις. ὀρθολογίαις. καλολεξίαις.
Εὐβόλω. ἐξ εὐθείας βάλλοντι.
Εὐθυβόλως. εὐσκόπως
Εὐθύναι. ἐξετάσαι.
Εὐθρόοισιν. εὐήχοις.
Εὔθραυσα. εὔθλασα. εὔθρυπτα
Εὐθυρήμων. ἑτοιμολόγος.
Εὐϊλατεύειν. ἵλεων εἶναι.
Εὐεπίοις. εὐλάλοις.
Εὐειδότες. καλῶς γινώσκοντες.
Εὐΐους. διονυσιακούς.
Εὐκρινὲς. σαφές. εὐδιάλυτον.
Εὔκαιρος. ὁ ἐπιτήδειος.
Εὔκηλος. ὁ ἥσυχος.
Εὐκλείας. εὐδοξίας. ἐνδοξότητος.
Εὐκλεὲς. ἔνδοξον.
Εὐκληρία. εὐτυχία.
Εὐκταίως. ὑγιεινῶς.

Ευχόλως. εὐχερῶς.

Ευκταῖον. εὐχῆς ἄξιον. πολυτίμητον.

Ευκατάπρηστος. εὔκαυστος. εὐχερῶς καιομένη.

Ευκύκλου. στρογγύλου. ἤ στρογγύλης.

Ευλας. σκώληκας.

Ευληπτότερον. εὐκόλως λαμβανόμενον. εὐχερές.

Ευλαβεῖσθαι. φυλάττεσθαι. φοβεῖσθαι.

Ευλαβείας. εἴδη δύο. αἰδὼς καὶ ἁγνεία. αἰδὼς μὲν γὰρ εὐλάβεια ὀρθοῦ λόγου. ἁγνεία δὲ. τῶν περὶ θεὸν ἁμαρτημάτων.

Ευλάβεια. ἐστι φυλακὴ κακοῦ. ἤ ἐπιμέλεια φυλακῆς.

Ευλογήσει. κατευφημισμὸν λέγει.

Ευλογία. παρὰ τὸ εὐλογῶ. τοῦτο παρὰ τὸ εὔλογον. τοῦτο παρὰ τὸ εὖ μόριον. καὶ τὸ λόγος. τὸ δὲ εὖ παρὰ τὸ ἐΰς ὃ σημαίνει τὸ ἀγαθὸν. τὸ οὐδέτερον τὸ ἐΰ. καὶ κράσει εὖ. τὸ δὲ λόγος παρὰ τὸ θέλω. ἃ γὰρ θέλει τις. ταῦτα καὶ λαλεῖ.

Ευμαρῶς. εὐχερῶς.

Ευμάλα. καλῶς πάνυ.

Ευμενῶς. πράως. ἱλαρῶς.

Ευμενῆ. ἐπιεικῆ. πρᾶον. ἥμερον.

Ευνοια. φιλία.

Ευνὴ. κοίτη.

Ευνάς. κοίτας. ἤ ἀγκύρας.

Ευνοϊκῶς. φιλικῶς.

Ευνοουμένη. εἰρηνεύουσα. εὐθυνουμένη. καλῶς διακειμένη.

Ευνάτορα. κοιμώμενον.
Εὔξεινος. πέλαγος. ἐνδόπρον τοῦ πόντου.
Εὐομένη. φλορίζουσα.
Εὖς παῖς. ἀγαθὸς παῖς.
Ευνοῦχος. ὁ ἄγαμος.
Εὔξοον. καλῶς κατασκευάσμενον.
Εὔοδμος. εὔοσμος. εὐώδης.
Ευνις. ἐπιδεής. ὄρφανος. ἡ γύνη. ἢ εὐνοῦχος.
Ευοδώσω. ἑτοιμάσω. ὁδηγήσω.
Ευπάρωισι. εὐπαράγωγοι.
Ευπορεῖν. πλουτεῖν.
Ευπάρυφα. εὐκατέργασα.
Ευπρίσατον. τὸ ταχέως μεταπρεπόμενον.
Ευπρέμνοις. εὐσελέχεσι.
Ευπάθεια. εὐτροφία. σπατάλη.
Ευπετῶς. εὐχερῶς. εὐκόλως.
Ευπρόσιτον. εὐπρόσδεκτον.
Ευπατρίδαι. εὐγενεῖς.
Ευπάρεδρον. καλῶς παραμένον καὶ διηνεκῶς.
Ευπινής. εὐειδής. πινος γαρτὸ εἶδος
Ευπρεπῶς. εὐκόσμως. εὐμόρφως. ὡρέως.
Ευπαρακολούθητοι. ὀξεῖς εἰς τὰ πράγματα. καὶ οὐ
νωχελεῖς. ἀντὶ τοῦ βραδεῖς.
Εὖς. ὁ ἀγαθός.
Ευπλοκαμίδες. καλλιπλόκαμοι.

Ευσέβεια. σέβεσθαι τὸν θεόν. ἢ ἑκουσίως ὑπόληψις ὀρθὴ τῆς περὶ θεοῦ τιμῆς.

Ευρωτίων. ἠφανισμένων.

Ευρωστος. ὑγιής.

Ευρεσίλογος. ἑτοιμολόγος. φλύαρος.

Ευρεῖτρα. πλατεῖα.

Ευρίζων. πλατύνων. ἢ καλὰς ῥίζας. χαροποιοὺς ἔχων

Ευρίπους. πέλαγος στενόν. ἢ τόπος ὑδατώδης μεταξὺ δύο γεῶν.

Ευρήματα. βουλεύματα.

Ευρυκρέων. μεγάλως βασιλεύων.

Ευρύοπα. μεγαλόφθαλμον.

Ευρύπρος. πλατύπρος.

Ευστάθεια. παγιότης. τὸ ἐρηρεισμένον. ἑδραῖον. καλῶς ἑστηκὼς καὶ ἡ καρτερία.

Ευσταλής. εὐπρεπής

Ευτράπελος. τὸν μετὰ σεμνότητος καὶ γέλωντον λέγοντά τι ῥῆμα.

Ευτ' ἂν. ὅταν. ὁπόταν.

Ευθύς. καὶ εὐθύ. καὶ εὐθέως διαφέρει. εὐθὺς μὲν γὰρ ἐστιν ὡ καί. εὐθὺ δὲ τὸ γυμνάσιον. ἀντὶ τοῦ κατ' εὐθεῖαν τοῦ γυμνασίου. ἢ εὐθὺ τὸ κακόνιον. τὸ δὲ εὐθέως. ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος.

Ευτελής. ταπεινός.

Ευτυκτον. καλῶς κατεσκευασμένον.

Ευτραπελία. μωρολογία. κουφότης. απαιδευσία. λέγε-
ται δὲ ἀναισχυντία καὶ ὕβρις.
Ευστιβῆ. πατρημμένη.
Ευσέλμου. εὐκαθέδρου. εὐσανιδότου.
Ευσκαρθμοι. εὐκίνητοι.
Ευσύνοπτος. εὐθεώρητος. σαφὴς.
Ευσυνάλλακτος. εὐμετάδοτος.
Ευσθενείας. δυνάμεως. ἰσχύος.
Ευσημος. καλὸς. λαμπρὸς. ἀγαθὸς. εὔδηλος. φανερὸς.
Ευστόχως. ἐπιτυχαπικῶς.
Ευχείρωτα. εὐχερῆ.
Ευχὴ. ἡ ἐπὶ τοῦ εὖ ἔχειν αἴτησις.
Ευχερῶς. εὐκόλως. ῥαδίως.
Ευσχημόνως. εὐλαβῶς. συλλυνῶς.
Ευ. καλῶς.
Ευτονος. γενναῖος.
Ευθύμητον. εὔτυχτον.
Ευφυὴς. ὁ πανοῦργος καὶ σκόπιμος.
Εφετμέων. ἐντολῶν.
Ευωχία. παρὰ τὸ εὖ ἔχειν.
Ευφρόνη. νύξ.
Ευφημεῖ. καλὰ λαλεῖ ἢ ἐπαινεῖ.
Ευφορῶν. εὐθυνῶν.
Ευφρων. ἱλαρός.
Ευφόρατα. κατάληπτα.

Ευφράδως. καλῶς φράζων.
Ευχεται. καυχᾶται.
Ευχος. δόξα. καύχημα.
Ευψυχος. ἱλαρὸς. εὔθυμος.
Ευωνον. εὔπρακτον. εὐαγόραστον.
Ευώνυμος. ἀριστερὰ.
Ευωσμίας. εὐωδίας. καλῆς ἀποφορᾶς.
Ευώδης. εὔοσμος.
Ευωρεῖ. παίζει. μεταιωρίζεται.
Εφάμιλλος. ὁ συναγωνιζόμενος εἰς τὴν ἅμιλλαν ἐξ ἴσου.
Εφαν. εἶπον.
Εφετὴς. δικαστὴς.
Εφασαν. διηγοῦντο. ἔλεγον.
Εφαλία. παραθαλάσσια.
Εφαύλισεν. ἠυτέλησεν. ἀπεβάλετο. οὐδενὸς ἄξιον ἡγήσατο.
Εφάμιλλον. ὅμοιον. παρόμοιαν.
Εφασκον. ὑπελάμβανον. ἔλεγον.
Εφετῶν. ἐπιθυμητῶν.
Εφλαδον. ἐχίδη. ἢ ἐθλάδη.
Εφάμην. ἔλεγον.
Εφαρμόττει. προσιστοῦ.
Εφαμίλλως. ἐπιζήλως.
Εφέπομεν. ἀκολουθοῦμεν.
Εφέσιος. ἔνοικος. πολίτης. αὐτόχθων.
Εφεξιν. κώλυσιν.
Εφετμὴ. ἐντολὴ. νουθεσία. καὶ ἐπιστολὴ.

Ἔφθος. ὀπτὸν μὲν ἐστι τὸ ἀμέσως τῷ πυρὶ ὁμιλοῦν. ἑφθὸν δὲ. τὸ μεθ' ὕδατος ἑψόμενον.

Ἔφεσις. ἐπιθυμία.

Ἔφεσις. ἡ ἐκ δικαστηρίου εἰς ἕτερον δικαστήριον μεταγωγή.

Ἐφέντος. ἐπιπέμψαντος.

Ἔφεδρος. ταβλιστής. τρίτων ἐνεδρεύων.

Ἐφέζει. σταθεῖ. ἐφελκύσει.

Ἐφαινάκιζεν. ἐχλεύαζεν.

Ἐφέζεται. ἐπικαθέζεται.

Ἐφέλκεσθαι. ἐπάγεσθαι.

Ἐφεστιάμενος. εὐωχηθεὶς. εὐφρανθείς.

Ἐφέδρευεν. παρεκαθέζετο.

Ἐφήδεσθαι. χαίρειν. ἐπιτέρπεσθαι.

Ἐφησθῇ. ἐχάρει.

Ἐφήδοιτο. τέρποιτο.

Ἐφησθεῖεν. ἐπιχαρεῖεν.

Ἔφη. εἶπεν.

Ἔφησθα. εἶπας.

Ἔφιζον. καθιζον.

Ἔφηβος. παῖς. νέος. ἐν αὐτῇ τῇ ἀκμῇ.

Ἐφιείς. ἐπιπέμπων.

Ἔφηβος. ἀπὸ ιδ' ἐτῶν νέος.

Ἐφημερία. ἡ πατρία. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία.

Ἔφθη. ἔφθασεν.

Ἐφιάλτης. ὁ ἐπαλλόμενος.

Εφετμῶν. ἐντολῶν.
Εφετμεύω. ἐντέλλω. προστάσσω.
Εφικτὸν. δυνατὸν. καταληπτόν.
Εφίεμαι. ἐπιθυμῶ.
Εφιεὶς. συγχωρῶν.
Εφίεσθαι. ἐπιθυμεῖν.
Εφικέσθαι. καταλαβέσθαι. παραγενέσθαι.
Εφίενται. ἐπιθυμοῦσι.
Εφιζάνει. ἐπικαθέζεται.
Εφικνούμενοι. προσεγγίζονται. παραγενόμενοι.
Εφιεὶς. ἐπιπέμπων.
Εφίκοιτο. νοήσαιτο. ἐφάψαιτο.
Εφιστάνουσιν. ἐκζητοῦσιν.
Εφίετο. ἐπεθύμει. ὠρέγετο.
Εφοίτα. παρεγίνετο. ἤρχετο.
Εφοίνιξεν. ᾕμαξεν.
Εφ' ὑγρὴν. ἐπὶ τὴν θάλασσαν.
Εφύζα. ἔφυσα.
Εφης. ὑπάρχεις.
Εφύπερθεν. ὑπεράνωθεν.
Εφυρον. ἔβρυχον. ἔπλυνον.
Εφύμνια. οἱ ὕμνοι οἱ μετ' ὀργάνω καὶ τέχνης ᾀδόμενοι.
Εφόλκια. καράβια μικρὰ. παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κοπηλατῶν ἢ τῶν μεγάλων πλοίων.
Εφεστρίδες. εἶδος ἱματίου.
Εφόρμησαν. ἐπεπήδησαν. ἐπῆλθον.

Εφ' ὅπω. ἐφ' ᾧτινι.

Εφόδια. ἁρμάζοντα. ἀναλώματα τῆς ὁδοῦ.

Εφ' ὅσον. ἐν ὅσῳ. ἀφ' οὗ.

Εφορος. ὁ πάντων ἐπόπτης καὶ θεωρὸς θεός. καλοῦνται δὲ καὶ οἱ τὰ τῶν πόλεων ὤνια ἐπισκεπτόμενοι.

Εφοδευσάτωσαν. κατασκοπευσάτωσαν.

Εφρύαξαν. ἀλογίστως ἐπάρθησαν.

Εχθος. τὸ μῖσος.

Εχις. ὁ τῶν ἐχίδνων ἄρρην.

Εχέφρων. φρόνιμος.

Εχετο. ἐγαμεῖτο. ὡς καὶ ἐχομένη. γαμουμένη.

Εχέγγυος. ἀσφαλής. ἐγγυητής.

Εχεμυθεῖ. ἔχει ἐν ἑαυτῷ τὸν λόγον.

Εχέτλην. τὸ κρατούμενον μέρος τοῦ ἀρότρου.

Εχθίστων. μεμισημένων μυσαρῶν.

Εχθοδοπήσεις. ἐχθροποιήσεις.

Εχθιστος. ἐχθρὸς μεμισημένος.

Εχθήρω. μισῶ. ἀποστρέφομαι. βδελλύσσομαι.

Εχθρὸς. πολεμίου καὶ δυσμενοῦς διαφέρει. ἐχθρὸς μὲν γὰρ ὁ πρότερος φίλος. πολέμιος δὲ ὁ δι' ὅπλων χωρῶν πρὸς τὸν πέλας. δυσμενὴς δὲ. ὁ χρόνιον τὴν πρὸς τὸν ποτὲ φίλον ἔχθραν διατηρῶν καὶ δυσδιάλλακτον ἔχων.

Εχόμενα. ἐγγύθεν. πλησίον.

Εχοιτο. ἀντέχοιτο.

Εχῖνος. ὁ θαλάσσιος. καὶ χερσαῖος ὁ λεγόμενος ἀκανθόχοιρος.

Ἔχρῆν. χρόνου παρατατικοῦ καὶ οὐχὶ ἐπίῤῥημα.
Ἐχρηματίσθη. ἐφωταγωγήθη. προσεμηνύθη.
Ἔχματα. κωλύματα. διονεὶ ἐχέματα. ἐρείσματα. ἐμφράγματα. στηρίγματα.
Ἐχρίπτοντο. προσεπέλαζον. προσετρίβοντο.
Ἔχρησεν. χρησμὸν δέδωκεν. εἴρηται δὲ καὶ ἀντὶ τοῦ ἐδάνεισε.
Ἐχυρῶς. ἀσφαλῶς. ὀχυρῶς.
Ἔχιων. ὁ ὄφις.
Ἐχυρὸς. ὁ ἀσφαλής.
Ἐχάλασαν. ἔκλιναν.
Ἔψια. τὰ ἀπὸ λόγων ἔχοντα παίγνια.
Ἔψεμα. μαγειρία.
Ἕψεται. ἀκολουθήσει.
Ἐψυχαγώγησε. παρεμυθήσατο. ἔτρεψε.
Ἑώας. τῆς ἀνατολῆς.
Ἑωθινὸς. ὀρθρινός.
Ἕωμεν. συγχοροῦμεν.
Ἑώκει. ὅμοιος ἦν. ὡμοίαζεν.
Ἐὼν. ὑπάρχων.
Ἕωλον. ψυχρὸν. μάταιον. ἀνόφελον.
Ἔων. ὑπῆρχεν.
Ἑωλοκρασία. ἡ χθεσινὴ μέθη.
Ἕω. σημαίνει τὸ καθέζομαι.
Ἐωνημένοι. ἀγοράσαντες. ἢ ἠγορασμένοι.

Ἔχθους. μίσους. ἔχθρας.
Ἔωξεν. ἀνέωξεν.
Ἑῷον. πρωϊνόν. ἀνατολή.
Ἕως. ἕως οὗ. ἕως ὅτι. ἕως ἐπί.
Ἑωσφόρος. ἀνατολικὸς ἀστὴρ πρωϊνος ὃν καλοῦσι φωσφόρον.
Ἕως. ἡ πρὸ τῆς ἡλίου ἀνατολῆς ὥρα.
Ἔω. ὑπάρχω. σημαίνει δὲ καὶ ἀνατολήν.

## Ἀρχὴ τοῦ Ζ.

Ζαθέην. λίαν θαυμαστήν.
Ζάγκλον. τὸ δρέπανον.
Ζάκοτος. ὁ ἄγαν ὀργίλος. κότος καὶ ἡ ὀργή.
Ζαμενής. ὁ ἄγαν ἰσχυρός.
Ζαής. ὁ σφόδρος ἄνεμος.
Ζαμβύκη. μουσικὸν ὄργανον.
Ζάθεος. πάνυ μέγας θαυμαστός.
Ζαφλεγεῖς. μεγάλοι. λαμπροί. ἐπιφανεῖς.
Ζάκορος. νεωκόρος. ἤγουν ἡ διακονοῦσα περὶ τὸν ἱερόν. ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν σαρῶν. κορεῖν γὰρ τὸ σαρεῖν ἀττικῶς.
Ζᾶ. σημεῖον ἐπιτάσεως.
Ζάω. καθεύδω.
Ζάω. τὸ ζῶ.

Ζάλη. ἡ ταραχὴ τῆς θαλάσσης ἢ τοῦ ἀέρος. παρὰ τὰ ζᾶ καὶ τὴν ἄελλαν.
Ζαχρειῶν. σφοδρῶν.
Ζατρεφέων. ἄγαν πλουσίων.
Ζάθροι. θεῖοι.
Ζάκορος. πολὺν κόρον ἔχων.
Ζήνιχιον. κόμμα λωρίου.
Ζάφελος. σημαίνει τὸν μεγάλως ἐπικαθήμενον. ἢ ἠυξημένον.
Ζαχρήεις. ὁ βίαιος καὶ σφοδρὸς.
Ζειὰ. ἐστιν εἶδος κριθῆς.
Ζέει. καὶ βράζει. ἐπὶ ὕδατος βράζοντος κυρίως. τὸ δὲ ζέειν καὶ ἐπὶ ἀνθρώποις. οἷον ζέοντι πόθῳ. καὶ ἐπὶ ἡλίου τοῦ θερμαίνοντος πάντα.
Ζαῖος. εἶδος ἰχθύος.
Ζεῖ. ζέει. ὥσπερ καὶ ρεῖ ρέει. καὶ πλέει πλεῖ.
Ζέσει. θέρμη.
Ζείδωρος. ἡ τὰ πρὸς ζωὴν δωρουμένη γῆ.
Ζέσας θυμῷ ἐξαφθεὶς τῇ ψυχῇ. θυμὸς γὰρ ἡ ψυχή.
Ζειαὶ. αἱ ὀλύραι.
Ζήλου. μιμοῦ.
Ζηλώσαντες. μιμησάμενοι.
Ζεύγλη. τὸ ἄκρον τοῦ ζύλου. καθὸ ἐντίθησιν τὰ ζῶα τοὺς τραχήλους.

Ζυγομαχεῖν. κυρίως ὑπο τῶν ὑποζυγίων τῶν ἀνίσων τὴν δύναμιν.

Ζεμα. τὸ θερμὸν καὶ θερμότης.

Ζέφυρος. ὁ δυτικὸς ἄνεμος. ὁ καὶ λίψ.

Ζειρὰ. σημαίνει τὴν ζώνην. καὶ χιτῶνα. καὶ χλαμύδα.

Ζῆλος. καὶ ζηλοτυπία διαφέρει. ζηλοτυπία μὲν γάρ ἐστι τὸ ἐν μίσει ὑπάρχον. ζῆλος δὲ. μίμησις καλοῦ. οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς.

Ζηλοτυπίαι. αἱ τοῦ ἀνδρὸς κατὰ τῆς ἰδίας γυναικὸς εἰς ἕτερον ἀσελγεῖς ὑπονοίαι.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίας γινομένη μίμησις δοκοῦντος καλοῦ τινος. φθόνος δὲ βασκανία τοῖς ἄλλοις μὲν οὖσα ἀγαθὴ. ὑμῖν δὲ οὐ.

Ζοφώδους. σκοτεινοῦ.

Ζήδωρον. ζωὴν δωρούμενον.

Ζήκοτον. ἄγαν ὀργίλον.

Ζαχρειῶν. σφοδρῶς πνεόντων.

Ζηλωτὸς. μακάριστος. ἐπαινετὸς.

Ζύγιον. τὸ ὑποζύγιον.

Ζηλήμονες. φθονεροὶ ζηλωταί.

Ζιβύνη. ὁλοσίδηρον ἀκόντιον. λόγχη.

Ζόφος. ὁ σκοτασμὸς. καὶ σκότος καὶ συννεφία.

Ζυμίτης. ὁ ἀρτοποιὸς.

Ζύμωμα. καὶ ζυμίτης. ὁ ἄρτος.
Ζυγομαχεῖν. τὸ τοῖς οἰκείοις διαφέρεσθαι.
Ζῦθος. οἶνος ἀπὸ κριθῆς.
Ζυγοφορούμενα. ἐν ζυγῷ σταθμιζόμενα.
Ζωαρκεῖς. ἀρκοῦν πρὸς ζωήν.
Ζωγρεῖ. ζῶντας λαμβάνει.
Ζῶμα. νῦν ὁ θώραξ.
Ζωπύρας. φυσητῆρας. ὅθεν οἱ χαλκευταὶ τὸ πῦρ ἐκφύσωσι.
Ζωοδότειρα. ζωὴν παρέχουσαν.
Ζωπυρεῖ. ἀναζεῖν ποιεῖ.
Ζώννυσθαι. καθοπλίζεσθαι.
Ζωροπόται. ἀκρατοπόται. μεθυσταί.
Ζωρότερον. ἀκρατότερον.
Ζώδιον. ὅτι ζῶντος εἶδος φέρει.
Ζωὐφίοις. μικροῖς ζώοις. ἤτοι κνιδάλοις. ἢ πτηνοῖς. ἢ σφηξί.
Ζωώσας. ζωοποιήσας.
Ζωή. ἐστι σύστασις τοῦ ζώου θανάτῳ ἀπείραστος.

## Ἀρχὴ τοῦ Η.

Ηα. ἦλθεν.
Ηατο. ἐκαθέζετο.
Ηβᾷ. ἀκμάζει. σφριγᾷ.
Ηβῶσαν. νεάζουσαν.

Ηβη. ἡ θεός. καὶ ἡ νεότης. καὶ ἡ ἡλικία. καὶ ἡ ἀκμή.
Ηβήσας. τριχώσας.
Ηβαιος. μικρός.
Ηβηδὸν. ἡβῶντας. ἤ τὰς στρατείας. ἢ ἀθρῶον ὅλα
κατ ἡλικίαν.
Ηβρέτας. ἀνδρὸς ἄγαλμα. ξόανον.
Ηβρυνόμην. ἐνεκαυχόμην. ἐκαλλωπιζόμην.
Ηγεμὼν. ἄρχων. ταξίαρχος.
Ηγεμονικὸν. νοῦς.
Ηγεῖτο. ἦρχεν.
Ηγερθεν. συνηθροίσθη.
Ηγήσατο. ὁδηγὸς ἐγένετο. ἦρξεν.
Ηγηλάζω. ἄγω. ὁδηγῶ.
Ηγέμιν. ἤγαγεν αὐτόν.
Ηγημαι. λελόγισμαι.
Ηγνικότες. καθαρίσαντες. ἢ κεκαθαρμένοι.
Ηγάσθην. ἐθαύμασα.
Ηγαισρωμένη. ἠγρωμένη.
Ηγήτορες. ὁδηγοί. ἡγεμῶνες.
Ηγάσατο. ἐθαύμασεν. ἐξεπλάγη.
Ηγροικισάμην. ἀγροίκως ἔπραξα.
Ηδη. ἀπάρτη.
Ηδει. ἠπίσατο.
Ηδη. τοῦ εἴδω. τὸ γινώσκω.
Ηδη. πρὸ τούτου. ἤπου δή.
Ηδη. ὄντως δή. καὶ ἀληθῶς.

Ἥδει. εὐφραίνει. τέρπει.
Ἤδη. ἄρτι.
Ἤδη. πρὸ τούτου λοιπόν.
Ἤγουν. τουτέστι.
Ἥδεται. ἡδύνεται. εὐφραίνεται. τέρπεται.
Ἤδη. ἀντὶ τοῦ ᾄδη.
Ἡδεῖαν. ἐρασμίαν.
Ἥδιστον. γλυκύτατον. καταθύμιον.
Ἡδονή. ἐπιθυμία.
Ἡδίων. γλυκίων. ποθεινοτέρων.
Ἠθεῖος. τιμητικὴ. προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον.
Ἠ. ἀντὶ τοῦ ὥστε.
Ἡδὺ. τὸ γλυκύ.
Ἡδόχωσις. ἡ στέγη.
Ἦια. βρώματα.
Ἡδρύνθη. ηὐξήθη.
Ἡδολέσχεσεν. ἐφλυάρησεν.
Ἡδυεπής. ἡδυλόγος.
Ἡδυπαθής. φιλήδονος.
Ἡδυνθείη. γλυκανθείη.
Ἦδος. ὄφελος.
Ἠέρι. ἀέρι.
Ἤισαν. ἐπορεύοντο.
Ἦ. ἀντὶ τοῦ γένηται. ὑπάρξει. καὶ ἀντὶ τοῦ ἔφησε.

Ηθάδων. συνήθων.
Ηθέμις. ὡς δίκαιον.
Ηθικὰ. τὰ εἰς ἤθη ἀνθρώπου λεγόμενα.
Ηερία. ἀορασία.
Ηθεολόγος. θεατριστής.
Ηθος. σημαίνει τὸν τρόπον.
Ηθεα. τοὺς συνήθεις τρόπους.
Ηεν. ἐπορεύετο.
Ηΐθεος. ὁ ἄπειρος γάμου. ἢ νεώτερος ιδ ἐτῶν.
Ηϊῶνα. αἰγιαλὸν ὄχθαν.
Ηΐων. ὁ αἰγιαλὸς
Ηΐξε. ὥρμησε.
Ηκα. παρεγενόμην.
Ηκες. σημαίνει τὸ ἦλθες.
Ηκιστα. οὐδαμῶς.
Ηκαιρεῖσθαι. ἐκωλύεσθαι. καιρὸν οὐκ εἴχεται.
Ηκηκόεισαν. ἀκούσαντες ἦσαν.
Ηκόμην. ἦλθον.
Ηκιστα γέμιν. οὐδαμῶς γέμιν.
Ηκοντα. παραγενάμενον. ἐληλυθότα.
Ηκορωνίς. τὸ κεφάλαιον.
Ηλιοτεύκτοις. ηλιοσκευάστοις.
Ηλασκουσι. πλανῶνται.
Ηκιστος. ὁ ἐλάσσων.
Ηκιστα. ὀλίγον.
Ηκων. ἐλθὼν. ἐληλυθώς.

Ηκρωτηριασμένος. τὰ ἄκρη ἀφῃρημένος.
Ηλίβατοι. ὑψηλοὶ.
Ηλέμνια. ἡ φαρμακός.
Ηλεκάτη. ἐργαλεῖον γυναικῶν.
Ηλίθιος. μωρὸς. ἀνόητος. ἄφρων. καὶ ὁ μάταιος.
Ηλεκτρον. ἀλλότυπον χρυσίον. μεμιγμένον ὑέλῳ καὶ λιθίῳ.
Ηλίκον. μέγα. πηλίκον.
Ηλισγημένους. μεμολυσμένους. ἠρτυμένους.
Ηλεος. ὁ θερμὸς καὶ προπετὴς παρὰ τὴν ἀλέαν.
Ηλίσκοντο. ἐκ τοῦ ἁλίσκω τὸ κρατῶ.
Ηλιθα. ἀθροίσεως ἐπίρρημα. σημαίνει δὲ τὸ ἀθρόως.
Ηλικιότης. ἡ ἡλικία. ἡλικιώτης. ὁ τέλειος τῇ ἡλικία.
Ηλος. διὰ τὸ ἡλοῦσθαι. καὶ περᾶσθαι.
Ηλισσία. ἐθελία.
Ηλιτόμενον. τὸ παρὰ μῆνα γεννηθὲν παιδίον.
Ηλιξ. ἡλικιώτης. τέλειος.
Ηλύσιον. τὸ καθαρὸν ἀπὸ ἁμαρτίας.
Ηλωσαν. ἡττήθησαν. ἐλήφθησαν.
Ηλω. ἐλήφθη. ἐπορθήθη.
Ημαρτον. ἀπέτυχον τῶν ἀγαθῶν.
Ηματα. ἡμέραι. ἢ ἡμέρας.
Ημαρ. ἡμέρα.
Ημα. ἀκόντισμα.

Ημεδαπῶν. ἰδίων. ἐγχωρίων. δάπεδον γὰρ τὸ ἔδαφος. ὅθεν καὶ τὸ ποδαπὸς ἀντὶ τοῦ ποῖ χωρᾶς.
Ημων. ὁ ἀκοντιστής.
Ημερόκοιτος. ὁ λῃστής.
Ηθμὸς. ἐργαλεῖον διατετρυπημένον πολλαῖς τρύπαις. δι' οὗ τὰ ὑγρὰ εἰώθασι διακρίνειν τῶν παχυτέρων.
Ημεροδρόμοι. οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι μανδάτορες.
Ημην. ἦπις αὐτόν. ἢ ἡμῖν.
Ημονες. οἱ ἀκοντισταὶ. καὶ ῥήτορες καὶ ὀρχισταὶ.
Ημος. ὁ πηνίκα. ὅτε. ἡνίκα. ἐπίρρημα χρονικόν.
Ην. πόσα σημαίνει. ἦν ἀντὶ τοῦ ὑπῆρχεν. ἥν ἀντὶ τοῦ ἥντινα καὶ ἥμην. ἢν ἀντὶ τοῦ ἐάν.
Ημυναμην. ἐτιμωρησάμην.
Ημιψα. ἄλλαξα
Ημίφθη. ἠλλάχθη.
Ημισφέριον. ἡμίκυκλον.
Ημιόλια. τὸ ἥμισυ τοῦ κεφαλαίου.
Ημείβετο. ἀπεκρίνετο.
Ημειραξ. ἡ παῖς.
Ημιφάριον. ἥμισυ ἱματίου.
Ημονες. ἀκοντισταὶ.
Ημοιρικῶς. ἀποτυχῶν. μὴ μετέχων.
Ημπίσχετο. ἐνεδύσατο. περιεβάλλετο.
Ηνεγκεν. ἤγαγε.

Ημύνατο. ἐτιμωρήσατο. ἠδίκησεν.

Ημφιάσαντο. ἐφόρησαν. ἐνεδύσαντο.

Ηνορίζετο. ἀνδρείως ἔπραττε.

Ηνεοθηλής. ἡ νεοστὶ βλαστήσασα.

Ηνίαις. λώροις. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἐξουσιαζόντων. ὅτι τὰς ἡνίας τῶν πόλεων ἢ τῶν χωρῶν κατέχουσι.

Ηνίασεν. ἔθλιψεν. ἐλύπησε.

Ηνίξατο. ἐσήμανε διὰ παραβολῆς.

Ηντεον. ὑπήντουν.

Ηνιάθη. ἐλυπήθη.

Ηνικα. ὅταν.

Ηνις. ὁ ἐνιαυτὸς.

Ηνιξάμην. αἰνιγματωδῶς.

Ηνυστρον. τὸ μέρος τῆς κοιλίας. ὅθεν διανύει ἡ τροφὴ ἤγουν ὅθεν διέρχεται.

Ηπου. ὄντως δὴ καὶ ἀληθῶς.

Ηπερ. καθάπερ.

Ηπεδανὸς. ἀσθενὴς ἢ ἄτεχνος

Ηπερ δὴ. ὥσπερ δὴ. ὅπου ἄν. καθ᾽ ὃν τρόπον.

Ηπύω. κηρύσσω.

Ηπίαλος. ὁ ῥιγοπύρετος.

Ηξεν. ὥρμησεν.

Ηξει. ἐλεύσει. ἔλθει.

Ηξίου. παρεκάλει.

Ηξίωσε. ναίειν. ἄξιον ἡγήσατο οἰκεῖν.
Ηοῦς. τῆς ἡμέρας ἀττικῶς.
Ηπατικοῦς. ἧπαρ πάσχων.
Ηπειρός. ἡ χέρσος γῆ πεζή.
Ηπίφαται. ἠπεφόνευται.
Ηπερ οὖν. ὥσπερ οὖν ἢ καθάπερ οὖν.
Ηπειρῶται. οἱ ἐν τῇ γῇ οἰκοῦντες. ὥσπερ νησιῶται οἱ τὰς νήσους οἰκοῦντες.
Ηπόρει. ἠμηχάνει
Ηπερίοδος. ἡ συνάγωγη. ἡ ἐπανάκλησις.
Ηπίως. πραέως. ἐπιεικῶς.
Ηπια. πραέα.
Ηπιος. πρᾶος.
Ηπόμην. ἠκολούθουν.
Ηράσατο. ἐπεθύμησεν.
Ηράμην. ἠρώτων.
Ηρατο. ηὔχετο.
Ηρδαλομένος. λεπρὸς μεμιασμένος.
Ηριον. τάφος.
Ηρεμία. ἡσυχία.
Ηρεψεν. ἐστέγασεν. ἐστέπασεν.
Ηρετο. ἠρώτα. ἐξήταζεν.
Ηρέμα. καταμικρόν. ἀτρέμα ἡσυχαίως.
Ηπιόων. ἠπίων. πραίων.
Ηρα. ὁ ἀήρ.

Ηρως. καὶ ἥρωες. οἱ πρωτογενεῖς ἄνθρωποι.
Ηρεμεῖ. ἡσυχάζει.
Ηρια. οἱ τάφοι παρὰ τὴν ἔραν τὴν γῆν.
Ηρετήσατο. ἠγάπησεν. ἐξέλεξατο. ἐπεθύμησε.
Ηρι. ἕωθεν.
Ηρεμον. ἥσυχον.
Ηρημένος. ἐπικληθεὶς. ἐκλελεγμένος.
Ηρθη. ηὐξήθη. ὑψώθη.
Ηρθρωσεν. ἐτράνωσε.
Ηρκται. ἤρξατο.
Ηρκεσεν. ἀρκετὸς γέγονε.
Ηρώμην. ἠρῶτον.
Ηρῶντο. ἠρώτησαν.
Ηρου. ἠρώτησας.
Ηρτηται. κρέμαται.
Ηρύσατο. ἤντλησε.
Ηρυθροδάνωται. κεκοκκίνωται. πεπύρωται.
Ηρωες. ἡμίθεοι δυνατοὶ.
Ησθα. ὑπῆρχες.
Ησεν. ὕμνησεν
Ησας. ἐδόξασας.
Ησο. καθέζου. διάτριβε.
Ησυχος. ὁ πρᾶος.
Ηχαλλον. ἐλυπούμην. ἠνιώμην.

Ηθα. ἦς. ὑπῆρχες.
Ηρχθεν. ἡγεῖτο.
Ηθην. ἐχάρην. ἡδύνθην. ἡδέως ἔχω.
Ης. ἡ μετοχὴ ἄρθρον τὸ ἦς. μετοχικὸν ὄνομα πρμετπκ.
Ηρώμεθα. ηὐχόμεθα.
Ηράθη. ἡ εὔκολος.
Ηθεὶς. χαρεὶς. τερφθεὶς.
Ησμένησαν. ἐχάρισαν.
Ησκημένος. μετελικῶς πεπαιδευμένος.
Ησσήθησαν. ἡττήθησαν.
Ησσόνων. ἐλαχιστοτέρων.
Ηριγένεια. ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα.
Ησιν. αὐταῖς.
Ηορα. ὁ ἀνὴρ.
Ησκίασα. μαθοῦσα.
Ηςὸν. τὸ ἡδὺ.
Ησσωμένων. ὀλιγουμένων. ἡττομένων.
Ησσον. ἧττον. χεῖρον.
Ησις. τέρψις.
Ηπὰν. ἐπὶ πὰν. ἢ ταύτην ἐπὶ ταύτην, ἢ ἐκείνην ἐπ᾽ ἐκείνην.
Ηςην. ὑπῆρχον δυϊκῶς.
Ηχάτησαν. ἐστέρησαν.
Ητίμωσεν. ἠτίμασεν.
Ητασεν. ἐβασάνισεν.
Ητέριχεν. ἠτάκτησεν.

Ηπαίριχως. ἐπιπορνεία.
Ηπριχῶς. ἐπιταίρου.
Ητορ. θυμὸς. καὶ ἡ ψυχή.
Ητιμωμένος. ἐξουδενωμένος περιυβρισμένος.
Ητορ καὶ ἄτορ. ὁ ἄφοβος τῇ ψυχῇ.
Ηττον. τὸ ὀλίγον καὶ μικρότερον
Ηττόνων. ὑποδεεστέρων.
Ηττῶ. νικῶ.
Ηττη. ἡ ἧττα.
Ητρον. τὸ ὑπὸ τὸ μέρος τῶν ὀφθαλμῶν ὕφασμα.
Ητω. ὑπαρχέτω.
Ητει. ἐζήτει.
Ηττονες. καταδεέστεροι. ἐλάττονες
Ηυγει. ἔλαμπε.
Ηυδησεν. ἐφώνησεν.
Ηυλίσθησαν. συνήχθησαν. ἐσαύνωσαν. παρέλαβον.
Ηυτομόλησαν. προσέδραμον τοῖς πολεμίοις. προσέῤῥυησαν.
Ηυχει. ἐκαυχᾶτο
Ηυδα. εἶπεν. ἔλεγεν.
Ηυμοίρισεν. ἔλαβεν. ἐπέτυχε.
Ηΰν. ἔνδοξον.
Ηΰς. ὁ ἰσχυρός. ὁ πρᾶος καὶ ἀγαθὸς καὶ γενναῖος.
Ηυνησεν. ἐκοίμισεν.
Ηΰσεν. ἐβόησεν.
Ηυτε. ὅν τρόπον. καθάπερ.

Ηφ τὸ πῦρ.
Ηφαιςία. παλάμη.
Ηφυσεν. διέκοψεν. ἀπήντλησεν. ἐξέβαλε.
Ηχὴ. φωνὴ. ἦχος.
Ηφειδηκότες. μὴ φεισάμενα.
Ηφίδη. ἐάθη. συνεχωρήθη.
Ηχι. ἀντὶ τοῦ ὅπου.
Ηφρονεύσατο. ἐμώρανε.
Ηχος. παρὰ τὸ λέω. ψόφος. ἐκφώνησις.
Ηχθετο. ἐλυπεῖτο. ἐβαρεῖτο.
Ηνειώθησαν. ἐφωνήθησαν.
Ηψησεν. ἐμαγείρευσεν.
Ηῶθεν. ἕωθεν. ὄρθρου.
Ηωρεῖσθαι. ἠρτῆσθαι. κρεμᾶσθαι.
Ηὼς. ὁ ὄρθρος. καὶ ἡ ἀνατολὴ. καὶ ἡ ἡμέρα. καὶ τὸ πρωϊνὸν. τῆς ἡμέρας.
Η. σύνδεσμος. αἰτιολογικὸς ἀντὶ τοῦ καθάπερ παραλαμβανόμενος.

## Αρχὴ τοῦ Θ.

Θάκων. καὶ θώκων. θρόνων. καθέδρων.
Θάκοις. θρόνοις.
Θαλερὸς. νέος.
Θάλαμος. ὁ κοιτὼν καὶ ὁ οἶκος.
Θαλία. εὐωχία. τέρψις.

Θάλασσα. παρὰ τὸ σάλον σάλασσα. καὶ θάνασσα παρὰ τὸ ἀνάσσων εἶναι. καὶ ἄλλως. θάλασσα παρὰ τὸ εἰληφέναι τὴν ὀνομασίαν ἐκ τοῦ θᾶ τοῦ σημαίνοντος τὸ τρέχω. καὶ τοῦ λᾶ τὸ ἁλμυρὸν. ἤγουν τὰ ἅλα. ἐκ τοῦ ἄσσα τοῦ πινάσσεσθαι. τουτέστι θεὸν ἅλα πινασσόμενον συναφθέντων σὺν τῶν κατὰ τὰ ἰδιώματα ἐκλήθη θάλασσα.

Θαλπωρή. χαρὰ. διάχυσις. θάλψις.

Θαλλὸς. πᾶν τὸ θάλλον. κυρίως δὲ ὁ τῆς ἐλαίας κλάδος.

Θάλψαι. θερμάναι. περισκεπάσαι. συντηρήσαι.

Θαλυσίαι. αἱ τῶν καρπῶν ἀπαρχαὶ.

Θαλαμηπόλος. ὁ περὶ τὸν θάλαμον ἀναστρεφόμενος.

Θαλαττοπορεῖ. πλέει διὰ θαλάττης.

Θάμβος. ἔκπληξις θορύβος.

Θαλαιρὸν. ἀκμαῖον. νεότατον.

Θαιρὸς. ὁ στροφεὺς τῆς θυρός.

Θαλαίων. τῶν πρὸς τὸ θάλλειν ἐπιτηδείων τροφῶν.

Θαλὴ. ἡ εὐθηνία.

Θάλεια. ὄνομα μουσῆς.

Θαλύσια. ἡ γινομένη θυσία ἐπὶ τῶν καρπῶν συγκομιδῆ.

Θαμὰ. συνέχως. πυκνῶς. διηνεκῶς.

Θάμνος. ξύλον ἀκανθῶδες. λέγει δὲ καὶ βάτος.

Θαητὴ. θαυμαστή.

Θάμνος. κλάδος καὶ ἡ ῥίζα τῶν δένδρων.

Θαμινά. πυκνά.

Θάνατος. ἀπὸ τοῦ θεῖν ἄνω τὰς ψυχάς. θάνατός ἐστιν αἰώνιος ὕπνος. διάλυσις σώματος. νοσούντων εὐχή. ταλαιπωρούντων ἐπιθυμία. πνεύματος ἀποστάτης. πενήτων ἐπιθυμία. πλουσίων φόβος. ἀνάλυσις μελῶν. ὕπνου πατήρ. ἐρ. τί θάνατος; ἀπ. θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος. βίου λύσις. φροντίδων ἀπαλλαγή. ἄδηλος πορεία. τέλος παντὸς ζώου.

Θάνοιεν. ἀποθάνοιεν.

Θαρραλέως. ἀνδρείως. εὐθαρσῶς.

Θάρρος. θαρσαλέως.

Θαρσος. ἀνδρεία.

Θάσσω. τάχει.

Θαάζω. θαυμάζω.

Θᾶσαι γάρ. σκόπει γάρ.

Θᾶσσον. θᾶττον. τουτέστι ταχέως καὶ ταχύτερον.

Θάσια. τὰ ἀμύγδαλα. ἀπὸ τοῦ θᾶσσον καρπεύειν. πρόϊμα γὰρ ὑπὲρ τὰ λοιπὰ δένδρα.

Θαῦμα. ἐστι τὸ ὑπερφυὲς ὑπὸ θεοῦ μόνου πληθμενον.

Θάτερον. ἑκάτερον. ἢ ἓν τῶν δύο

Θάσσουσαι. σπεύδουσαι.

Θάτερον θατέρου. ἕτερον ἑτέρου.

Θεάμονας. θεατάς. θεωρούς.

Θέαν. ὄψιν. θεωρίαν.

Θεαζόντων. μαινομένων.

Θέει. δράμει. τρέχει.
Θεήγοροι. θεολόγοι. ἢ ἐκ θεοῦ λαμπόμενοι.
Θεήλατος. ὑπὸ θεοῦ πεμφθεὶς.
Θημῶνας. τοὺς σωροὺς τῶν δραγμάτων.
Θεῖναις. οἱ σωροὶ τῆς ψάμμου
Θίασσος. ὁ χορὸς.
Θειλόπεδον. σημαίνει τὸν τόπον ὅπου ἡλιάζουσι τὴν σταφυλὴν.
Θεῖον. θαυμαστὸν. καὶ τὸ θεάφιον. καὶ ὁ ἀδελφὸς τοῦ πατρὸς. καὶ ἡ ἀκτὶς τοῦ ἡλίου
Θεία. θαυμαστή. καὶ ἡ ἀδελφὴ τῆς μητρὸς.
Θειασώτης. χορευτὴς.
Θειασῶται. οἱ τὰ θεῖα ψάλλοντες.
Θεῖον. κωνσιστώριον. ἀσηκρητάτον βασιλικόν.
Θεῖα. θεῖα. θαυμαστὰ. ὀρθὰ.
Θελγομένων. ἀπατωμένων. κυρίως δὲ λέγεται ἐπὶ τῶν ἡδυνομένων τοῖς ᾄσμασι.
Θέλξεσιν. ἀπάταις.
Θέλγητρα. τὰ εἰς ἡδονὴν ἄγοντα.
Θελκτήριοι. θεραπευτικοί.
Θέλγειν. μεταβολὴν ποιεῖσθαι ψυχῆς εἰς τὸ θέλειν ἄγειν. λέγεται καὶ τὸ ἀπατᾶν καὶ τὸ εὐφραίνειν.
Θελητὴς. προαιρετικὸς.
Θέμις. δίκαιον πρέπον.
Θεμιτὸν. ὅσιον. δίκαιον.
Θέμηλα. ῥίζαι. θεμέλια.
Θεαρχικὸν. θεῖον.

Θεότης. ἐστιν ἡ πάντα θεωμένη πρόνοια καὶ ἀγαθότητι παντὶ περιθέουσα καὶ συνέχουσα καὶ ἑαυτῆς ἀποπληροῦσα καὶ περιέχουσα πάντα τῆς προνοίας αὐτῆς ἀπολαύοντα.

Θερμαί. νότος.

Θέναρ. τὸ κοῖλον τοῦ ποδὸς καὶ τῆς χειρός.

Θεῖον. τὸ ἐπιθυόμενον εἰς κάθαρσιν καὶ ἀβλαβεῖς ποιοῦν.

Θέοντες. τρέχοντες.

Θεόθεν. ἐκ θεοῦ.

Θεοειδέστερας. θεῖον εἶδος. ἢ ὁμοίωμα ἐχούσας.

Θεοείκελον. θεῷ ὅμοιον. εἴκελον γὰρ ὅμοιόν ἐστι.

Θεοστέπωρ. θεοσεβής.

Θεοπτίας. θείας. θεωρίας. ὁράσεις.

Θεοκλυτήσαντος. θεοῦ ἀκούσαντος. θεὸν ἐπικαλεσαμένου.

Θεοδμήτων. ὑπὸ θεοῦ οἰκοδομηθέντων.

Θεόμητι. θεόφρονι. θεοβούλῳ.

Θεορρημοσύναι. θεῖα ῥήματα. κατανύξεις.

Θεοειδές. τὸ κατ' εἰκόνα λέγει.

Θεόρρυτον. ἐκ θεοῦ προϊόν. ἢ προχεόμενον.

Θεοστυγεῖς. θεομίσητοι.

Θεοπρόπιον. τὸ ἐκ θεοῦ μάντευμα. ἢ φροφήτευμα.

Θεότευκτον. θεοκατασκεύαστον.

Θεραπαινίς. δούλη.

Θέρεται. θερμαίνεται.

Θέσκελον. θαυμαστόν.

Θέριστρον. θερινὸν ἱμάτιον

Θέσμιον. δίκαιον.

Θεσμοφόρος. ὁ τοὺς νόμους ἐπιφερόμενος.

Θεμιτὸν. ἔννομον.

Θεσμοποιεῖς. νομοθετεῖς.

Θέσφατον. τὸ ἐκ θεοῦ μάντευμα. ἀργὸν. ἄπρακτον.

Θεσμὸς. νόμος.

Θέσπιν. θείως. ἀληθινῶς.

Θεσμοθέτης. νομοθέτης.

Θεσπίζει. ὁρίζει. νομοθετεῖ.

Θέσπισμα. θεῖον δόγμα.

Θετὸν. εἰσποιητὸν. οὐ γνήσιον.

Θεσπίσιος. θεῖος. θαυμαστὸς.

Θέσφατος. ὁ ἐκ θεοῦ πεφημισμένος.

Θέσθαι καὶ ἀπολέσθαι διαφέρει. θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ὑποθήκην. ὑποθέσθαι δὲ τὸ δοῦναι ὑποθήκην.

Θεωρία. νοερὰ ἐνέργεια. ἡ νῷ μόνῳ θεωρουμένη.

Θηλὴ. μαστὸς. ὁ γαλουχῶν.

Θηλυδρίας. ὁ τεθηλυμμένος.

Θεωρία. παρὰ τὰ θεῖα ὁρᾶν

Θεσπεσία. ἕπεσθαι καὶ ἀκολουθεῖν θεοῖς.

Θηλαμὼν. ἡ τροφὸς.

Θεοέπος. ὁ ἀκολουθῶν καὶ ἕπων θεοῖς.

Θέσπιν. θείαν.

Θήπει. ψεύδεται.
Θηπῶ. ἐκπλήττομαι.
Θερίκλειον. εἶδος ποτηρίου
Θησαυρὸς. φυλακτὸς.
Θήσειν. σημαίνει γ. τὸ ἀφονίζειν. τὸ ποιεῖν. καὶ τὸ θηλάζειν.
Θηριωδία. ἡ πικρία. ἐκ τοῦ θηριώδους ἔξου καὶ ἐχθηρῶ.
Θηλυμανεῖς. γυναικομανεῖς. πόρνοι.
Θηρολέξης. ὁ τὰς λέξεις θηρόμενος.
Θητεία. παραμονὴ. ἡ δουλία
Θητικὸν. θεραπευτικὸν. ὑποχείριον. ἐργασικὸν.
Θεωρὸς. θεορητικὸς.
Θεοπρόπιον. τὸ ἐκ θεοῦ προλεγόμενον.
Θῆτες. οἱ μισθῷ διὰ πενίαν ἐργαζόμενοι.
Θηγη. ἡ ἀκόνη. καὶ θήγω τὸ ἀκονῶ.
Θηρευμα. εὕρεμα. ἄγρευμα.
Θήρατρον. δάκτυλον. παγὶς. ἀρκισρον.
Θηρεύειν. ἀγρεύειν.
Θηρᾶ. ἀγρεύει.
Θητεύειν. δουλεύειν.
Θῆβις. κιβώτιον ἐκ βύβλου πλεκτὸν. ὡς φοινικῶδες.
Θήγοντες. ὀξύνοντες.
Θηγάνει. ὀξύνει. ἀκονᾷ.
Θηρήτορα. ἀγρευτὴν.
Θηρουντες. ἐπιθηροῦντες.
Θηρομενοι. ἀγρευόμενοι.

Θήγειν. ἀπλεῖσθαι. ἐρρίζειν.

Θηλαδίας. εὐνοῦχος

Θλίβεται. ἐκπατεῖται. ἐκπιάζεται. ὡς ἐπὶ σαφυλῆς λαμ=
βάνεται δὲ καὶ ἐπὶ ἀθυμούντων.

Θορός. ὁ σπόρος ὁ ἀνθρώπεις παρὰ τὸ μετὰ ὁρμῆς πη=
πεθαι.

Θαναι. ἀποθανεῖν.

Θινός. ὁ αἰγιαλός.

Θνητός. ὁ θανὼν

Θόρος. ἡ τροφὴ καὶ ἡ μέθη

Θοινηθῆναι. φάγειν.

Θοην. νύκτα.

Θοον. ταχύον.

Θρασυς. τολμηρὸς. ἰσχυρός.

Θοας. ταχείας ὁρμάς.

Θολερον. τεταραγμένον.

Θοη. ἡ ὀξεῖα. καὶ ταχεῖα.

Θολοῦσα. σκοτοῦσα.

Θοη. θυσία.

Θήρω. ἀκονῶ.

Θοινη. εὐωχία. τρυφή. κατάβρωμα.

Θοιμάτιον. ἱμάτιον.

Θόλος. στρογγυλοειδὲς οἴκοιμα.

Θολῶδες. τεταραγμένον σκοτεινόν.

Θις. ὁ αἰγίαλος.

Θυμέλη. τράπεζα. ἐφ᾽ ἧς ἑστῶτες ἐν τοῖς ἀγροῖς ᾖδον.

Θίς. ἐπὶ τοῦ σωροῦ.
Θουκυδίδης. ὁ ἀθηναῖος συγγραφεύς.
Θραύεται. συντρίβεται.
Θοῦρον. πηδητικὸν ταχὺ πολεμικότατον.
Θραῦσις. φθορά. ἢ ἧττα ἐν πολέμῳ. ἡ θάνατος. ἢ ἀῤῥωστία.
Θρησκεία. θεαρεσκία πισοῦσα.
Θρησκεύειν. θεοσέβειν. ὑπηρετεῖν τοῖς θεοῖς. ἀρέσκειν. ὅ ἐστιν ἐξευμενίζεσθαι.
Θρῆσκος. ἐπρόδοξος
Θρίδαξ. τὸ μαρούλιον.
Θρινακία. ἡ σικελία.
Θρίναξ. πτύον. τοῦ σίτου.
Θριαμβεύσας. στηλιτεύσας. δημοσιεύσας. πομπεύσας.
Θρυλλῶ. ταράσσω.
Θριγκός. στεφάνη. κύκλος. ἤτοι τῆς οἰκείας περίφραγμα. ἢ μικρὸν τειχεῖον.
Θρίαμβος. ἐπίδειξις νίκης. ἢ γογγυσμός
Θρὶξ. ἡ τρίχα.
Θρόμβοι αἵματος. πῆγμα αἵματος.
Θρία. σημαίνει φύλλα συκῆς. ἢ ἀμπέλου. εἰς τρία γὰρ διαιρεῖται.
Θρέμματα. πρόβατα.
Θριαί. αἱ μαντικαὶ ψῆφοι.
Θρύπτεται. μαλακίζεται. βλακεύεται. χαυνοῦται.
Θρῶν. βλέπων.

Θρύλλοι. ψιθυρισμοὶ. ὁμιλίαι
Θρυαλλὶς. τὸ ἐλλύχνιον. φῶς.
Θρύψις. βλακεία. ἤ μαλακία
Θρονα. ἄνθη. ποικίλματα.
Θρώσκων. πηδῶν.
Θρωσκεύειν. θρώσκειν. πηδᾶν.
Θρονος. ἡ καθέδρα.
Θρυλλοῦντες. θορυβοῦντες.
Θρύπτω. τὸ κλάνω. θρύψαι γὰρ τὸ κλάσαι.
Θῦσαι. τοῦ σφάξει διαφέρει. σφάξαι μὲν ἐπὶ τοῦ ἱερουργῆσαι τὸ ζῶον. θῦσαι δὲ τοῦ θυμιᾶσαι.
Θύεσθαι. τοῦ σφάττεσθαι διαφέρει. ὅτι τὸ μὲν θύεσθαι διὰ σπλαγχνῶν θύεσθαί φασι. τὸ δὲ σφάττεσθαι τὸ φονεύεσθαι καθ᾽ ἥντινα αἰτίαν. καὶ τὸ μὲν ἐπ᾽ ἀλόγου. τὸ δὲ ἐπὶ ἀνθρώπου τάσσεται.
Θυγατριδοῦς. ὁ υἱὸς τῆς θυγατρὸς.
Θύελλα. καταιγὶς. καὶ ἀνέμου συστροφὴ.
Θύτης. ἱερουργὸς.
Θυηπόλος. ὁ περὶ τὰς θυσίας ἀναστρεφόμενος.
Θυσιαστήριον. ἔστι τὸ τὴν θυσίαν τηροῦν.
Θυμέλαι. τράπεζαι. ὀρχήσεις. θυμέλη δὲ ἡ τράπεζα.
Θυηλὰς. τὰς ἀπαρχὰς.
Θυΐδες. θυσίαι.
Θυμήρης. ἀρέσκων ψυχῇ. ἡδὺς.
Θυμικὸν. ὀργίλον.
Θυμοφθόρα. τὰ τὴν ψυχὴν φθείροντα.

Θυμὸς. ἔστιν ὀργὴ βιαία ἄνευ λογισμοῦ καὶ τάξεως ψυ-
χῆς ἀλογίστου.
Θυμός. ἐστὶ ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος.
Θυμος. ἐστὶ οἱονεὶ ἐξ ἄψεως καὶ ἀναθυμιάσεως ὀξὺ τοῦ
πάθους ὀργὴ δὲ ἔμμονος λύπη καὶ ὁρμὴ διαρκὴς
πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν.
Θυμάλγεα. λυπηρὰ. τὴν ψυχὴν ποιοῦντα ἀλγεῖν.
Θυοσκόος. ἱεροθύτης καὶ ὁ μάντης. παρὰ τὸ ἀπὸ τῶν θυ-
μιωμένων κόειν. ὅ ἐστι νοεῖν τὸ μέλλον.
Θυμηδίαις. καλοψυχίαις. τέρψεσι. χαραῖς.
Θυμον. ἀχέων. τὴν ψυχὴν λιπούμενος.
Θύμος. ψυχὴ.
Θυτήριον. θυσιαστήριον. θυμιατήριον.
Θυμαρέα. τῇ ψυχῇ ἀρέσκουσα. ἐξ οὗ καὶ θυμήρης συντίθεται.
Θυοσκόπος. ὁ διὰ τῶν θυμάτων μαντευόμενος.
Θύρσος. ῥάβδος.
Θύραθεν. ἔξωθεν.
Θύραζε. ἔξω τῆς θύρας.
Θύραθεν. θύρεσι. ἔξω τῶν θυρῶν.
Θύσανος. κροσσὸς.
Θύννος. παρὰ τὸ θύνω τὸ ὁρμῶ. καὶ πλεονασμῷ τοῦ ν
θύννος.
Θυρα. διὰ τὸ θεωρεῖν ῥᾳον
Θυραίων. τῶν αὐλῶν
Θυραῖος. ὁ ξένος.
Θυρεὸς. σημαίνει τὸ ὅπλον.

Θῶες. θηρία ἐξ ὑαίνης καὶ λύκου γεννόμενα.
Θωὴν. ζημίαν.
Θωπείας. κολακείας.
Θώρηκα. ἀττικῶς τὸν θώρακα.
Θώραξ. λωρίκιον. πύργος. χίτων. σῶμα. στῆθος.
Θωρακισμὸς. καθοπλισμὸς.
Θώμιγξ. σπάρτος καννάβινος.
Θυρεὸς. ἀσπὶς. ὃ παρὰ ῥωμαίοις καλεῖται σκουτάριον
Θωπος. ὁ κόλαξ
Θωρῶ. τὸ βλέπω.
Θωμὸς. καὶ σωρρὸς. ὁ σωρὸς.
Θωρακίζεται. καθοπλίζεται.
Θύννων. κρέα ἰχθύων.
Θύνειν. ὁρμᾶν.
Θυμηδίαν. χαρὰν. τέρψιν.
Θύσκει. σκάφη. ἡ τὰ θύματα δεχομένη ἀπὸ τοῦ θύω.
Θωρακίοις. προμάχωσιν. ἢ λωρικίοις.
Θωπικῶς. κολακευτικῶς.
Θώμιγξ. καννάβινον.

## Αρχὴ τοῦ Ι

Ἰὰ. τὰ βέλη.

Ια. ἄνθη. κρίνα.

Ιακχον. ἑορτὴν. ἢ τὸν διόνυσον.

Ἰάλλω. προπέμπω. ἱέναι ποιῶ.

Ἰάλεμος. ὁ θρῆνος. ἢ καὶ ὁ ἄνανδρος.

Ιαμα. θεράπευμα.

Ιαμβος. στίχος ποδῶν ἕξ.

Ιαχνώων. θάλπων.

Ιαννουάριος. μὴν ἐξ ἰανοῦ τινος οὕτως ὀνομασθεὶς.

Ιαψεν. ἔπεμψεν.

Ἰάνθη. ἐχάρη. ηὐφράνθη.

Ἰάπυξ. ἄνεμος ἐλαφρὸς.

Ἰαύει. κοιμᾶται. ἕως ἀπέθανε.

Ιαχεν. ἤχησεν. ἐβόησεν.

Ιβις. ὄρνεον ὀφιομάχων

Ιγνύες. τὰ σκέλη. αἱ κόξαι

Ιγμαλέη. δίυγρος ὑγρὰ.

Ιγνύον. τὸ ὄπισθεν τῶν γονάτων. ἢ τὰ γόνατα. ἢ ἀγκύλαι.

Ιδάλιμον. εὐειδὲς.

Ιδος. ἱδρὸς.

Ιδμεν. οἴδαμεν. εἰδικὸν. ἡνίκα μὲν τὸ εἶδος σημαίνει οἷον γένος εἶδος γενικὸν δίφθογγον γράφεται. ἡνίκα δὲ τὸν ἴδιον οἶκον. διὰ τοῦ ι. γράφεται.

Ἰδιώτης. ὁ ἄγροικος. καὶ πλοχός. ἰδιῶτις δὲ ἡ πλοχεῖα.

Ἰδρασμένας. ἑδραιομένας.

Ἰδει. ἱδρῶτι.

Ἴδρυσις. ἑδραίωσις. ἀσφάλεια.

Ἰαύων. κοιμώμενος.

Ἴδρις. σοφὸς. ἔμπειρος.

Ἴδη. ὄρος. λέγεται δὲ ἀφ᾽ ὕψους ἰδεῖν αὐτόν.

Ἰαίνετο. διεχεῖτο. καὶ ἔχαιρεν. ἐθερμαίνετο.

Ἰάονες. ἀθηναῖοι.

Ἴαλλον. ἐξέτεινον. ἔπεμπον.

Ἰάπτειν. σπαράσσειν.

Ἰδρυχόος. τὸ ζώδιον.

Ἰδιαίτερον. ἰδιαιτέρον. ἴδιον.

Ἰδρῶς. ὕδαρος γαρέσι.

Ἰδρυμμένους. τεθεμελιωμένους. ἐστηριγμένους. βεβαίως διακειμένους.

Ἰδνώθη. ἐπεστράφη. ἐκάμφη.

Ἰδμέναι. μαθεῖν.

Ἰδρύοντες. στηρίζοντες.

Ἴδμων. ὁ ἔμπορος πραγματευτής.

Ἴδομαι. θεάσομαι.

Ἱεμένων. καθημένων.

Ἵενται. ἀφίενται.

Ἵεντο. προεθυμοῦντο.

Ἱερεῖον. τὸ πρόβατον. εἴρηται διὰ τὸ ἵεσθαι ἤγουν φορεῖν τὸ ἔριον.

Ἰέναι. ἐλθεῖν. πορευθῆναι.

Ἴετο. ἤρχετο.

Ἱερομύστης. ἱερὰ μυστήρια εἰσηγούμενος.

Ἱερεὺς. ὁ τὸ ἱερὸν εὖ ἤτοι προσφέρων. ἐκ τούτου οὖν ἐκλήθη ἱερεύς.

Ἱεροφάντης. παρὰ τὸ τὰ ἱερὰ ἐκφωνεῖν. μᾶλλον δὲ ἐκφαίνειν καὶ λέγειν. οὗτος δέ ἐστιν ἱερουργός.

Ἱερὸν. παρὰ τὸ ἕω καὶ ἀφίω ὁ ἀνειμένος τόπος εἰς τιμὴν θεοῦ.

Ἱερὸς. ἅγιος. τίμιος. ἀμόλυντος.

Ἱερὴν. δύο σημαίνει. τὴν μεγάλην καὶ τὸ ἱερόν.

Ἱερομηνία. μεγάλη ἑορτὴ κατὰ μῆνα.

Ἱερουργεῖ. θύει. ἱερὰ ἐργάζεται.

Ἱερᾶσθαι. ἱερουργεῖν.

Ἱερεῖον. σφάγιον θῦμα.

Ἱει. ἔπεμψε.

Ἱεράσατο. καθιέρωσεν. ἀνέθηκε.

Ἴεσσαν. ἐπορεύθησαν.

Ἱερόσυλος. κλοπεὺς τῶν ἱερῶν.

Ἱερῆας. ἱερεῖς. ὡς καὶ βασιλῆας βασιλεῖς.

Ἵζει. καθίζει.

Ἵζεο. καὶ ἵζευ. καθέζου.

Ἵζω. τὸ κάθημαι.

Ἱζήσαντα. καθίζαντα.

Ιζόντων. καθημένων.
Ιζάνει. ἐπικάθηται
Ιῆς. μιᾶς.
Ιᾶ. μιᾶ
Ιητῆρος. ἰατροῦ.
Ιῆτο. ἰᾶτο.
Ιῆς. μιᾶς. λέγεται καὶ τῆς σῆς.
Ιήσατο. ἰάσατο. ἐθεράπευσεν.
Ιθαγενεῖς. ἐντοπίους.
Ιθαγενὴς. υἱὸς γνήσιος. ἰθὺ καὶ ἀδιάστροφον τὸ γένος ἔχων.
Ιθεῖα. ὀρθή.
Ιη. ἔλθῃ.
Ιθυνομένης. ὀρθουμένης.
Ιθύ. καὶ εὐθείας.
Ιθυντήριον. τὸ κανονίζον. καὶ ἴσα παρέχον. ὅθεν καὶ ἰθύνων ὁ καλῶς κυβερνῶν.
Ιθε. πορεύου.
Ιθματα. ὁρμαὶ. ἢ βήματα.
Ιθυτενὲς. εἰς εὐθείαν τεταγμένον.
Ιθυντήρ. ὁδηγὸς. κυβερνήτης. χαλινὸς πηδάλιον.
Ιθύν. τὴν ὁρμὴν τῆς διανοίας. καὶ τὴν κατὰ πόλεμον διόρθωσιν.
Ιθυπτίωνα. κατ' εὐθὺ πετομένην.
Ιθύνειν. διοικεῖν.
Ιθρις ὁ τομίας. παρὰ τὸ θρίσαι ὅ ἐστι πρίσαι.

Ικτῖνος. εἶδος πετεινοῦ. ὃ λέγεται λούπην. ὃς ἐτυμολογεῖται ἀπὸ τοῦ ἑαυτὸν ἐκτείνειν πανταχοῦ.
Ἴθι. ἔρχου. δεῦρο. ὡς ἄπιθι. ὕπαγε. πορεύου.
Ἱκάνω. καταλαμβάνω.
Ἵκεσθαι. παραγίνεσθαι.
Ἱκέσθησαν. ἀφήκοντο. παρεγένοντο.
Ἵκεσθαι. καὶ ἀφίκεσθαι διαφέρει. ἵκεσθαι μὲν γάρ ἐστι τὸ ἐλθεῖν. ἀφίκεσθαι δὲ τὸ ἐπανελθεῖν.
Ἱκανότης. δύναμις. ἰσχύς.
Ἱκανῶς. ἀρκετῶς.
Ἵκετο. παρεγένετο.
Ἶκες. ζωΰφια. τὰ ἐσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων.
Ἵκω. τὸ δέομαι. ἐξ οὗ καὶ ἱκέτης.
Ἱκεσία. ἡ παράκλησις.
Ἴκελος. ὅμοιος.
Ἱκετηρία. παράκλησις. ἱκεσία.
Ἱκνοῦμαι. ἱκετεύω.
Ἱκέται. οἱ ἱκετεύοντες καὶ δεόμενοι.
Ἱκνεῖται. ἔρχεται. καθάπτεται.
Ἰκρίον. σταυρός. φοῦρκα. ξύλον ἐν ᾧ οἱ κακοῦργοι κρέμανται.
Ἰκρία. τὰ σανιδώματα.
Ἴκτερος. λέγουσιν εἶναι νόσον ὠχροειδῆ ἀπὸ θυμοῦ γενόμενον. ὥστε τοὺς ὀφθαλμοὺς τῶν κεκρατημένων ὠχροὺς καὶ μέλανας ποιεῖν. ὡς τῶν ἰκτίνων. ἀφ' οὗ τὴν κλῆσιν ἔχει. ἔστι δὲ καὶ ὄρνεον ὃ λέγουσι λούπην.

Ιχνος. σημαίνει τὸν ἵππον.
Ιλεὸς. ὁ φωλεός.
Ιλλίζειν. τὸ διανεύειν.
Ιλὺς. ὑπόστασις ὕδατος.
Ιλλούστριον εὐγενῆς. εἰς ταὐτὸ συναχθεῖσα. ἔστι δὲ καὶ ἡ ῥύπος.
Ιξιὼν. πορευθεὶς.
Ιλάοντα. ἱλάσκοντα.
Ιλαος. ἵλεος.
Ιλάσσω. τὸ ἱκετεύω.
Ιλεος. εὐπαράκλητος.
Ιλεω. εὐμενῆ.
Ιλασμὸς. συγχώρησις. πραότης. εὐμένεια.
Ιλαρότητι. χαρᾶ.
Ιλαστήριον. θυσιαστήριον.
Ιλλοι. οἱ ὀφθαλμοί.
Ιλλον. στρεβλόν.
Ιλιγξ. κυρίως συστροφὴ ὕδατος.
Ιλη. πλῆθος.
Ιλυσπώμενος. κυλιόμενος ἐν βορβόρῳ.
Ιλεμῶ. θρηνῶ.
Ιλὺς. πηλὸς. βορβορώδης. ῥύπος.
Ιμάντες. λῶροι.
Ιμάντωσις. σύνδεσμος ξύλων ἐμβαλλομένων ἐν τοῖς οἰκοδομήμασι.
Ιμὰς. λῶρος. μάστιξ.

Ιμασεν. ἱμάσιζε.
Ιμάτιον. ὅτι τὸ φοροῦν τιμᾶ.
Ιμάτιον. παρὰ τὸ ἕω τὸ ἐνδύομαι.
Ιμάς. δέσις. ἡ σύνδεσις τῶν κορριγίων τοῦ ὑποδήματος.
Ινδικτιών. καλεῖται ῥωμαϊσὶ δέσποσμα ἢ μήνυμα.
μηνύει γὰρ ἡ ἀρχὴ τοῦ μηνὸς τὴν περίοδον τοῦ ἐνιαυτοῦ.
Ιμεροι. ποθεινοί.
Ιμερος. καὶ ἡ ἐπιθυμία
Ιμείρω. ἐπιθυμῶ
Ιμεν. πορευόμεθα.
Ιμερτόν. ἐπιθυμητόν. ἡδύ.
Ιμείρεται. ἐπιθυμεῖ.
Ιμόνιον. Χοινίον. ἀντλιτήριον.
Ινσιτούτων. εἰσαγωγὴν νόμων.
Ινα. δασύνεται τὸ ὅπως. τὸ δὲ νεῦρον ψιλοῦνται.
Ιναι. νεῦραι.
Ινίον. τὸ ὄπισω τοῦ τραχήλου νεῦρον. τὸ πλατύ.
Ινῶν. νευρῶν.
Ινδαλμα. φαντασία. ὄναρ. ὅπερ μὴ παρὼν ὑπονοεῖ τις.
Ινδίξιον. ἡ κατὰ ιε ἔτους ἐναρχομένη.
Ινις. νέος. παῖς. βρέφος. ἀπόγονος. νήπιος.
Ιμονία. δέρμα.
Ιξαλος. πηδητικός.
Ιξεν. ἐπιάθη. ὑπήκουσεν. ἦλθεν.
Ιξυς. ἡ ὀσφύς.

Ἰξευτὴς. ἰξευτικὸς. στρουθοπιάστης.
Ἰξύϊ. τῇ λαγόνι.
Ἰξὸς. παρὰ τὸ ἄξειν τὰ ὄρνεα καὶ κρατεῖσθαι.
Ἴξιον. ἡ βοτάνη. ἤτοι ὁ κισσός.
Ἰον. τὸ βέλος.
Ἰοδόκη. βελοθήκη.
Ἴοιτο. πορεύοιτο.
Ἴοι. ἀπέλθοι.
Ἰού. σχετλιαστικὸν. ἐπίρρημα.
Ἰότητι. βουλήσει.
Ἰόνται. πορευόμενον. ἐρχόμενον.
Ἴον. ῥόδον. ἢ ἄνθος.
Ἴος. σημαίνει τὸν μόνον.
Ἰὸς. ἀντὶ τοῦ φάρμακος.
Ἰὸς. σημαίνει τὸ βέλος
Ἰὸς. παρὰ τὸ βλαπτικὸν.
Ἰούνιος. ὁ νεάζων. καὶ ἐκ τοῦ νεός.
Ἰόνιον. πέλαγος. ὁ νῦν ἀνδρείας.
Ἰοχέαιρα. ἡ τοξότης.
Ἰότης. ἡ βουλή.
Ἴουλος. τοῦ ἐπ' ἄνω χείλους τὸ γένειον ὅταν ἐκφύειν ἄρχηται ἡ πρώτη βλάστησις τῶν τρίχων.
Ἰπνὸς. φοῦρνος. ἢ κάμινος. ἢ φάος.
Ἱπποφορβὸς. ἱπποτρόφος. φορβὴ γὰρ ἡ τροφή.
Ἱπποδάμοις. ἵππους δαμάζων.

Ιππεῖς. ἔφιπποι.
Ιπες. θηρίδια τὰ βρωτικὰ τῶν κεράτων.
Ιππῶτα. ἱππικότατε.
Ιππευστὴς. ἱππεὺς. ἔφιππος
Ιππίως. ἀναβάτου. ἐπιβάτου
Ιππαρχοι. οἱ τῶν ἱππέων ἄρχοντες.
Ιρις. ἡ θεός.
Ιππήλατον. εὐρύχωρον. πλατήλειον.
Ιρὰ. ἱερὰ. θύματα. θυσίας.
Ιραι. αἱ ἐκκλησίαι
Ιρηξ. ἱέραξ.
Ιρεῖν. λέγειν
Ιρις. νέφος ὑγρὸν. κατ' ἔπλωσιν ἡλίου γενόμενον δέσι τόξον.
Ιρος. πτωχός. πένης.
Ισασιν. οἴδασι. γινώσκουσιν.
Ισηγορεῖ. ἰσολογεῖ.
Ιση. γνώση. μαθήση.
Ισθμος. στενὴ θάλασσα μεταξὺ δύο γαίων.
Ισμὸς. ἐστι λεπτὴ καὶ στενὴ ὁδὸς. ᾗ χρώμεθα ἄλλης μὴ παρούσης.
Ισθμος. ἐστι γῆς στενῆς δίοδος ἑκατέρωθεν θαλάσσῃ περιεχόμενος.
Ιππος. παρὰ τὸ τοῖς ποσὶν ἵπτασθαι.
Ιρις. κυρίως ἡ μάχη ἡ διὰ λόγων γινομένη λέγεται.

Ιρισ. σημαίνει τὸν ἄγγελον καὶ τὸ τόξον ἐν τῷ ὀυρανῷ γενόμενον.

Ιπτῶ. σημαίνει τὸ θλίβω.

Ισαν. ἐπορένοντο.

Ιθματα. βήματα.

Ιπος. ὁ παγίς.

Ιαθμίον. περιτραχήλιος κόσμος ἤ μανιάκης.

Ιαθμια. περιτραχήλια. καὶ ἑορτὴ ἑλλήνων.

Ιον. παραγενόμενον. ὅρα δὲ μὴ τὸν ἰὸν ὑπολάβοις ὧδε τοῦ ὄφεως. ἀλλὰ τῷ ἐν τῷ κανόνι τῆς πεντηκοστῆς ἀυτοδεσπότως ἰὸν τὸ ἅγιον πνεῦμα ἵνα ἡ μετοχή.

Ισουργός. ἴσα ἐργαζόμενος.

Ισομαι. γνώσομαι.

Ισόρροπον. ἰσοστάσιον. μὴ τρέπον. ἀκλινές.

Ισοκλεές. ἰσόδοξον.

Ισοπάλη. ἴσα ἐν κλήρῳ. πάλος γὰρ ὁ κλῆρος.

Ισοσθενής. ἰσοδύναμος. σθένος γὰρ ἡ δύναμις.

Ισοσθενοῦσαν. ἰσοδυναμοῦσαν.

Ισις. ὄνομα δαίμον.

Ισοτελεῖς. ἴσα τοῖς ἀστοῖς. ὅ ἐστι τοῖς πολιτικοῖς τέλη διδόντες.

Ισοφαρίζοι. ἐξισάζοιτο.

Ισοστάσιον. ἴσον τῷ σταθμῷ

Ισόπεδον. ἰσοντῇ γῇ.

Ἴαθι. γίνωσκε. σημαίνει καὶ τὸ γίνου.

Ἴαθι. σημαίνει τὸ ὑπάρχει.

Ἴαθι. σημαινει τὸ ἔσω γινώσκων.

Ἴστε. ἐπίστασθε. οἴδατε γινώσκετε.

Ἴστω. γινωσκέτω. γνώτω.

Ἱστίον. τὸ ἄρμενον τῆς νεός.

Ἰστέον δὲ. γνωστέον δὲ.

Ἱστορεῖ. μαρτυρεῖ.

Ἱστία. τὸ ἄπλωμα.

Ἱστορία. διήγησις. συγγραφὴ.

Ἴστρος. ποταμὸς ὁ παρ' ἑβραίοις φείσων. παρὰ δὲ ἰνδοῖς γάγγης. παρὰ αἰθίοψιν ἰνδὸς. ὑπὸ δὲ ἕλλησι δανούβης.

Ἰσχνομυθίας. λεπτολογίας.

Ἰσχνοὺ. θαλπεινοὺ ἢ σαπρὸν.

Ἰσχανῶ. σημαίνει τὸ ἐπιθυμῶ.

Ἰσχνότης. ὀλιγοσαρκία.

Ἰτέα. φυτὸν.

Ἰτέον. πορευτέον.

Ἴτης. σημαίνει καὶ τὸν πλούσιον καὶ τὸν πένητα.

Ἰσχίον. τὸ ὄπισθεν μέρος τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν τὸ κοῖλον ὅπου ἡ κοτύλη στρέφεται. ἢ τὸ ὑπεράνω τῶν μηρῶν.

κοῖλον ὅσουν εἰς ὅν ἐμμένει τὸ ἄκρον τοῦ μηροῦ. ὅπερ
καὶ γλοῦτος καλεῖται. καὶ κοτύλη παρὰ τὴν κοιλό-
τητα.
Ἰίζουσι. συνρίζουσι.
Ἰσχυρίζεται. ἐνίσταται φιλονείκως διαβεβαιοῦται.
Ἰσχνής. λεπτής.
Ἰσχεῖ. κρατεῖ. κατέχει.
Ἴσως. τάχα.
Ἰσχία. τὰ ὑπεράνω τῶν μηρῶν.
Ἰσχνόφωνος. λεπτόφωνος.
Ἰταμός. ὠμός. ἀναιδής. ἀναίσχυντος.
Ἰταβύριον. ὑψηλὸν ὄρος.
Ἴτω. πορευέσθω.
Ἴτυς. ἡ περιφέρεια τοῦ ὅπλου.
Ἰύζει. κράζει. βοᾷ.
Ἰυγή. φωνή. βοή.
Ἰσχάνει. ἐπιθυμεῖ.
Ἰχνία. παίγνια.
Ἴυγξ. ὄρνεον. ἐπάγωγον. φίλτρον.
Ἰυγμός. φωνή. βοή.
Ἶφι. βοᾷ μεγάλως.
Ἰφθίμους. ἰσχυρούς
Ἴφια. μῆλα. τὰ ἀσθενῆ πρόβατα.

Ἰχανόωσαν. ἐπιθυμοῦσαν.
Ἰχανᾷ. ἐπιθυμεῖ.
Ἰχνηλατῆσαι. διὰ τῶν ἰχνῶν ἀναζητῆσαι.
Ἴχνος. ποῦς. ὁδὸς. πορεία. βῆμα.
Ἴψας. ἐμήσησας. ἔβλαψας. ὠδύνησας.
Ἴψαι. φθεῖραι. βλάψαι.
Ἴψ. σημαίνει τὸν σπώλικα. σκώληκα. Hesych.
Ἰωὴ. βοή.
Ἴωμεν. βαδίσωμεν.
Ἴωνες. ἀθηναῖοι.
Ἰὼν. πορευόμενος.
Ἰωγῆ. τῶν ναῶν.
Ἰωχμὸς. δίωξις. τάραχος. παρὰ τὸ διώξω διωγμὸς. τρόπῳ τοῦ γ εἰς χ καὶ ἐκβολῇ τοῦ δ ἰωχμὸς. ἢ παρὰ τὸ διοχθὸς τις ὤν.
Ἰωνία. ἡ ῥοδωνία
Ἰωλκὰ. καὶ ὦλκα. τὴν αὔλακα.
Ἰώμενος. ὁ θεραπεύων. Ἰόμενος δὲ ὁ θεραπευόμενος.

# Αρχη του Κ.

Κάβειροι. δαίμονες.
Κάμβολος. ὁ καταβάλλων.
Καβαλλάριος. ἔφιππος. ο εν ιππω καθήμενος. κάβαλλος. γαρ ὁ ἵππος.
Κάδος. μέτρον.
Κάδμος. ὁ ἑρμῆς.
Κάγκελλον. ἀντὶ τοῦ δικτυΐσκον ὑποκοριστικῶς. ὅτι κάσσης ρωμαῖοι τα δίκτυα λεγουσι. καὶ ὑποκοριστικῶς κάγκελλον. ὅθεν καγκελλάριοι οἱ ἐν αὐτῷ ἑστηκότες. δύο δὲ οὗτοι μόνοι.
Καμβαλῶν. καταβαλῶν.
Κάγκανα. τὰ ξύλα τὰ ξηρὰ καὶ εἰς καῦσιν ἐπιτήδεια.
Καγχαλόων. γελῶν.
Καθικνεῖσθαι. καθάπτεσθαι.
Καθέξει. κρατήσει.
Καθιέναι. ἐπὶ τοὺς κάτω ἀπολῦσαι.
Καπηγμένον. κατελθόντα. φθάσαντα.
Καθύλωσον. κράτησον.
Καθίρχτω. ἐγκέκλεισο. πεφυλακίσθω.
Καθηγητὴς. διδάσκαλος ἡγούμενος.
Καθυφῆκεν. ἐνέδωκεν. ὑπεκατέβη.

Καθαπτόμενος. ὀνειδίζων. ἐπιπλήττων.

Καθῆσθαι. καθέζεσθαι.

Καθῆστο. ἐκάθητο.

Καθιεροῖ. θεῷ ἀνατίθησι.

Κάθες. χαλάζον.

Καθάπαξ. παντελῶς.

Καθόδοις. ἀγοραῖς. περιόδοις.

Καθορμία. περιθέματα.

Καθοσίωσις. δικαίωσις.

Καθοσιωμένος. ἐγγεγραμμένος. ἐγκείμενος.

Κάθιδρος. κεκμηκώς.

Καθίδρυσεν. ἔστησεν. ἐστήριξεν

Καθύπερθεν. ὑπεράνω.

Καθίστησι. καθιστᾷ. χειροτονεῖ. προχειρίζεται.

Καθάγε. καθώσπερ.

Καθυφῶμεν. ἐλλείψομεν.

Καθ' ὑπερβολήν. ὑπερβολικῶς. ὑψηλοτέρως.

Καθειργνύς. κατακλείσας. ἢ καταβαλών.

Καρχαρόδων. ὁ κεχαραγμένους ἔχων τοὺς ὀδόντας.

Καθόσον. οἷόν τε. καθόσον δυνατόν ἐστι.

Καθ' ὥραν. ἐν ὥρᾳ ἐν καιρῷ

Καθεὶς. χαλαθεὶς. σημαίνει δὲ καὶ καθ' ἕνα ἕ=
κασον ἐὰν περισπᾶται.

Καιριώτερον. σημαίνει δὲ τὸν ἀναγκαιότερον.

Καιριώτατα. ἐπιτηδειότατα.

Καιρίων. θανασίμων.

Καὶ τί ἐρήσομαι. καὶ τί βουληθῶ ἢ ἐκλέξομαι.

Καὶ μάλα. καὶ λίαν πάνυ.

Καὶ τὼ πόδε. καὶ τοὺς πόδας δυϊκῶς.

Καὶ λεπτύνω. καὶ συντρίψω.

Καὶ τὼ χεῖρε. καὶ τὰς χεῖρας δυϊκῶς.

Καὶ συμβιβάσεις. καὶ διδάξεις.

Καὶ μὴν. καὶ μέντοι. καὶ ἔτι.

Καινὸν. νέον. νεωστὶ γενόμενον.

Κενοτάφια. τινά εἰσιν εἰσιστόμενα ὡς ἐν τύπῳ νεκροῦ.

Καὶ μάλα. εἰκότως. καὶ πάνυ δικαίως.

Καὶ σφῶν. καὶ αὐτῶν.

Καγχλάζων. ἀσήμνως γελῶν.

Κακοῤῥαφίας. κακοσυνθεσίας. μηχανίας.

Καταβολὴ καὶ εἰσβολὴ διαφέρει. καταβολὴ μὲν γάρ ἐστι ἡ ἔκθεσις κατάθεσις τοῦ εἰσφερομένου ἀργυρίου. εἰσβολὴ δὲ περίοδος τοῦ πυρετοῦ.

Καθ᾽ ὑπόστασιν. ἐστὶ τὸ ἐκ διαφόρων φύσεων ὑφεστός.

Καινοὶ. νεωστὶ γεγλυμμένοι θεοί.

Κάλλη. τὰ πορφυρᾶ παννία

Καλάμην. τὸ γῆραν. τὸ λείψανον. ἐστὶ δὲ καὶ καλάμη ἡ ὑπόσταθμη τοῦ ὑπολειπομένου σίτου.

Καλλίγια. καλπίκια.

Κάλλος. παρὰ τὸ κάζω τὸ κοσμῶ. ἢ παρὰ τὸ θάλλω.

Κανὼν. σημαίνει διάφορα. τὸν ῥυθμὸν. τὸν εἱρμὸν. τὸν ὁ ἐντεχνον λόγον καὶ ἔμμετρον. καὶ την τεκτονικὴν στάθμην. καὶ τὸν τύπον. καὶ τὸ διδόμενον τέλος. καὶ διάταξιν τῶν ψαλλομένων. καὶ τὸ σύστημα τῶν ἱερέων καὶ μοναχῶν. καὶ τὴν ἔκθεσιν τῶν ἐκκλησιαστικῶν καιφαλαίων.

Καθιδρύει. κάθηται. καταμένει.

Κἀκ τῶν. καὶ ἐκ τῶν. καὶ ἐκ τούτων.

Κακεργέτισι. κακοεργοῖς.

Κακοδαίμων. ὁ θεῷ ἐπαχθεὶς.

Κακορροθῶν. λοιδορῶν. καὶ τὴν ψυχὴν ἔχων ἐνυβρίζων.

Κακηγόρος. κακαλόγος.

Κακόχαρτος. ἐπὶ κακῷ χαίρων.

Καλουμνίας. προφώνησις.

Κακώσαντες. θλίψαντες. ταπεινώσαντες.

Κακύνει. κακίζει. ἐπισκόπτει.

Καλαύροπα. ποιμενικὴν ῥάβδον.

Καλλιέρημα. θυσία εὐπρόσδεκτος.

Καλινδούμενος. κυλιόμενος.

Καλίνδεται. κυλίεται.

Καλύνθρα. κόσμητρα.

Καλλιρόην. κρήνην.

Κάλπη. ὑδρεία παρθενική.

Καλιά. ὁ ξύλινος οἶκος. καὶ ἡ νοσσιά

Καλοκαγαθία. ἀγαθότης.

Καλώδιον. Χοινίον.

Κάλυξ. τὸ κεκαλυμμένον ῥόδον

Καλαμᾶται. ῥογολογεῖ. ἐπανοτρυγᾶ ἤ τὰ ἀποθερίσματα συλλέγει.

Καλλύνειν. κοσμεῖν.

Καλλιέπεια. καλλιλεξία.

Καλλίπνοα. ἡ εὔπνοα. εὐώδη.

Κάλχας. ὁ μάντης. καὶ κάλχη. βοτάνη.

Καλόπους. ὁ ξύλινος πούς. κάλον γὰρ τὸ ξύλον.

Κάλοι. οἱ σχοῖνοι. οἷον χάλοι. οἷς χαλᾶται τὰ ἱστία.

Καμήσιον. ὁ ἐπὶ καμάτων χιτών.

Κάμνειν. ἐπὶ τοῦ πονεῖν καὶ ἐργάζεσθαι. καὶ ἐπὶ τῶν ἀποθανόντων.

Καμόντας. ἀποθανόντας ἤ κατασκευάσαντας.

Καμπύλαι. σκολιαί. στρεβλαί. καὶ ἐπικαμπεῖς.

Κάπος. ὁ κάθυδρος τόπος. καὶ ὁ κῆπος.

Κάπω. πνέω.

Κάνδυς. περισχὸν ἱμάτιον.

Κἀντῷ. καὶ ἐν τῷ.

Κανοῦν. κανίσκιον.

Καν̀ οὐδέποτε. κἂν μετὰ πολὺν χρόνον.
Κάμπανος. ὄνομα κύριον. ἀφ' οὗ ἡ καμπανία.
Κανστρεσίον. ἀσφάλεια. ἰδιότητα παρὰ σπόρω ...
Κανθάδε. καὶ ἐνθάδε.
Κανθήλιος. ὄνος.
Κάπετος. ὁ σωρὸς. ἡ θήκη.
Κἀπήνει. καὶ ἐπήνει.
Καρδαμύττειν. τὸ συνεχῶς τὰ βλέφαρα κινεῖν.
Καρδία. τινὲς παρὰ τὸ κράτος αὐτὴν ἔχειν. ἔστι γὰρ ἡγεμονική.
Καρυκεύματα. πολυτελῆ ἀρτύματα.
Καρτερία. ἔστι δύναμις ἐμμενητικὴ πόνοις.
Καρυκεία. ἀρτυσία. ἡδύτης.
Κάρα. κεφαλή.
Καρηβαρῶν. τὴν κεφαλὴν σειαθείς.
Καραδοκία. ἐλπὶς. προσδοκία. ἐκδοχή. ἐπιτήρησις.
Κάρχαρον. τραχύν.
Καρατομία. ἀποκεφαλισμός.
Κάρδοπος. ἡ μακρὰ τοῦ ἀλέρου.
Καρπαλίμεως. ταχέως.
Κάρπωμα. θυσία προσφορά.
Κάρσιον. πλάγιον.

Κάνδυλος. βρῶμά ἐστι διὰ γάλακτος καὶ μέλιτος κατα-
σκευαζόμενον.
Καπηλεῖον. διὰ τὸ καθεζομένους πίνειν.
Κάπηλος. ὁ οἰνοπώλος. πηλὸς γὰρ ὁ οἶνος.
Κάπησι. φάτναις.
Κάπη. φάτνη.
Καπίστριον. φορβειά.
Κάππα. καπνός ἐστι εὕρεμα. καπάτιον γὰρ τὸ ἔχον τὴν
ὄπα. ὅ ἐστι τὴν φωνήν. τὰ γὰρ ψιλὰ ἀπὸ τοῦ κατω-
τάτου τῆς γλώττης τὴν προφορὰν τῆς φωνῆς.
Κασίγνητος. γνήσιος ἀδελφός.
Κάπιδε. θεώρησον.
Κάρτος. νίκος. ἰσχύς. κράτος.
Καταπλήσσει. δειλιᾷ. φοβεῖται.
Κασαλβάς. πόρνη. ἀπὸ τοῦ καλεῖν καὶ σοβεῖν.
Κατάρδεται. ποτίζεται.
Καταχάθετον. τὸ ἀπὸ ὕψους εἰς βάθος διάστημα
Καταλεάνας. καταστρίψας. ἐξαλείψας.
Κατεπιάνθη. ἐλιπάνθη. ἐτράφει. πίων γὰρ ὁ εὐτραφὴς
καὶ τρύφερος.
Κατλύσας. ῥάψας. κατασκευάσας.
Καταδεέστεροι. ταπεινότεροι.
Κατέλευσαν. ἐλιθοβόλησαν.
Κατεξανίσαται. κατεπαίρεται.
Καταφορικῶς. σφοδρῶς.

Κατέπληχε. πεφόβηται.
Καπηλικαῖς. πορναῖς. ἀπατηλαῖς.
Καταδεῖται. δεσμεῖται.
Κατοῤῥωδεῖ. φοβεῖται.
Καπισόμενος. ὁ νομάζων εαυτον μεγαν ειναι. καὶ φυσῶν ὑπερηφάνως
Κάρηνα. ἀκρωτήρια.
Καρκίνος. εἶδος ζώου θαλασσίου ὁ λεγόμενος πάγουρος. καὶ ζώδιον ἐν τῷ οὐρανῷ. καὶ νόσος οὕτω λεγομένη. καὶ μέλος ἀνθρώπου.
Κάρταλλον. κλωβεῖον ξύλινον. ἢ σπουρίδιον πλεκτόν.
Κάρμιλλος. Χοινίον νηὸς παχύ.
Κάρφη. ἀπὸ τοῦ ἐξηράνθαι. καὶ κάρπος ὁ κατάξηρος στάχυς.
Καταγνῦναι. κατάσσειν. κατακλᾶν. συντρίβειν.
Καταποντωθῆναι. κινδυνεῦσαι.
Κατακηλεῖ. καταθέλγει ταῖς ἡδυφωνίαις ἢ αὐλοῖς
Κάρος. σκότωσις.
Καταπτηθηπτός. ἐκπεπληγμένος.
Κατακερματίζει. καταμερίζει.
Κατηχήθησαν. ἐδιδάχθησαν. ἔμαθον.
Κατέληξε. κατέπαυσε.
Κατάδυσις. φωλεός. σπήλαιον.
Κατευνᾶσαι. κατακοιμῆσαι.

Καταφιλοσοφῶν. διὰ τῆς σιγῆς νικῶν

Καποιχομένων. ἀπελθόντων. ἀποθανόντων.

Κατάραξε. κατάβαλε.

Καταλιπαίνει. λιπαροποιεῖ.

Κατευμεγεθήσας. ὑπερβάλλων νικήσας.

Κατάλληλον. ὅμοιον. παρὰ τὸ ἀλλήλοις ἐοικέναι.

Κατηχθίζετο. ἐλυπεῖτο. ἐβαρεῖτο.

Καπικίσατο. κατεβασάνισε.

Κατάῤῥησιν. κατηγορίαν.

Κατοιμώζοντες. κατασκευάζοντες.

Κατεφωράσο. ἠλέγχετο. ἐφανεροῦτο.

Καταῖτυξ. ἡ περικεφαλαία. ἀπὸ τοῦ κάτω πτύχθαι.

Καταδύσαντος. βυθισθέντος.

Κασσίτηρος. ὁ τὴν κόσμησιν τηρῶν. ἢ ὁ κοσμῶν καὶ
λαμπρύνας.

Κασσία. εἶδος μυρεψικοῦ.

Κάσις. ἀνηλικιότης ἀδελφός.

Καστρένσιον. πεκούλιον. ἰδιόκτητον. ἐξ οὗ καὶ κάστρον.

Κατὰ κόῤῥος. λέγεται τὸ τὴν σιαγόνα πλῆξαι. ἄλ-
λοι δὲ ἅπασαν τὴν τῆς κεφαλῆς πληγήν. κόρσην
γὰρ τὴν κεφαλὴν λέγουσι.

Καταπρόεσθαι. καταπροδοῦναι.

Καταλλήλως. ἁρμοδίως. προσφόρως. ἀκολούθως.

Καταπεφρικότες. δειλιάσαντες. φοβηθέντες.
Καταδῃώσαντες. πολεμήσαντες. πραιδεύσαντες.
Κατακράτως. ἰσχυρῶς.
Κατασοφισθεῖσα. χλευασθεῖσα.
Καταλιγωρήσαντες. καταφρονήσαντες. ἀμελήσαντες.
Κατασίνεσθαι. καταβλάπτειν.
Κατῄδεσα. αἰσχυνθῆναι ἐποίησα.
Κατεσκληκὸς. κατεξηραμμένος.
Καταστοχάζεται. κατὰ στόχου βάλλει.
Κατέδυ. ἐβυθίσθη. κατεποντίσθη.
Κατημαξευμένος. τετριμμένος. γεγυμνασμένος.
Κατάφορος. φανερὸς.
Κατεδιῄτησε. κατέκριναν.
Κάταγμα. μήρυγμα. κατάσπασμα ἐρίου.
Καταίροντες. καταπλέοντες.
Κατάραι. καταπλεῖν.
Καταγλωττίζει. περιέργως καταφιλεῖ.
Κατόρρυχται. κατέχωσται.
Κάτεισι. κατέρχεται.
Καταθύμιον. κατὰ νοῦν. κατὰ ψυχὴν.
Καταληΐζεται. διαρπάζει.
Καταρραψῳδεῖ. καταφλυαρεῖ.
Κατεντυχθεὶς. κατεντυχηθεὶς.

Κατεστυγημένον. μεμισημένον.

Κατάφασις. λόγος ἀποφαντικός.

Κατόπιν. ὄπισθεν. ὀπίσω.

Καταφοινίξας. καταβάψας.

Κατὰ πόδα. παρ᾽ αὐτά. κατὰ τάξιν

Κατὰ πρόσκλησιν. κατὰ χάριν κατὰ προσωποληψίαν.

Κατεστόρισε. κατέστρωσε.

Καταψηφίζεται. κατακρίνει.

Κατέστικται. πεποίκιλται.

Κατεσκλήρωται. ἐσκληρύνθη. πεπαλαίωται.

Καταβραβευέτω. καταγωνιζέσθω. παραλογιζέσθω.

Καταγορεύει. κακολογεῖ. καταλαλεῖ.

Καταθεῶτο. βλέποι.

Καταθρήσωμεν. θεωρήσωμεν. σκοπήσωμεν.

Κατασκίδναται. διασκορπίζεται.

Καταδηοῦν. κατακόπτειν.

Καταπρανοῦς. κατωφεροῦς.

Καταλλήλως. ἀκολούθως.

Καταιρωνεύεται. ὑποκρίνεται. δολιεύεται.

Κατάκραν. ἀντὶ τοῦ κατὰ κράτος. ἀπὸ τοῦ ἀκὴ ὃ σημαίνει τὴν ὀξύτητα ἄκα. καὶ πλεονασμῷ τοῦ ρ ἄκρα.

Κατάντημα. ἀπάντημα. καὶ τέλος ὁδοῦ.

Καταργῶ. σημαίνει τὸ ἀποπαύω. καὶ κατηργήθη ὁ νόμος. ἀντὶ τοῦ ἀπεπαύθη.
Κατόλισθον. κατέπιστον.
Καταθλῆσαι. καταγωνίσασθαι. καθυποτάξαι. νικῆσαι.
Καταφοιτῆσαι. κατελθεῖν.
Κατανδρίζεται. καταπαλαίει.
Κατὰ σφᾶς. καθ' ἑαυτούς.
Κατάρχει. κατέχει. κωλύει.
Κατεσκληκυῖα. κατεσκληρυμμένη.
Καταχροτεῖ. ἄγαν ἐπαινεῖ.
Κατεδάρθη. κατεκλείθη. ὕπνωσεν.
Κατεκαλλύνετο. κατεκοσμεῖτο. κατεφαιδρύνετο.
Κατέλευσαν. ἀντὶ τοῦ ἔχωσαν λίθοις.
Κατηγλαϊσμένος. καταλελαμπρυσμένος.
Κατέπτηξαν. ἐφοβήθησαν.
Κατευθὺ. κατ' εὐθεῖαν
Καταθρῆσαι. ῥᾷον. κατιδεῖν εὐχερές.
Κατεκερτομοῦντες. καταφλυαροῦντες. λοιδοροῦντες. σκώπτοντες.
Καταθοινίσασθαι. καταφαγεῖν.
Καταθορῶντες. καταπηδῶντες.
Καταθεῖν. κατατρέχειν.
Κατεπτηχὼς. τῷ φόβῳ συσταλεὶς. ἢ τεταπεινωμένος.

Κατήγγραστ. κατήσραψε.
Καταλαζωνέυεται. κατεπιπίρεται.
Κατέχεος. κατεξέχεεν.
Κατήφεια. ἀπὸ τοῦ τὰ φάη κάτω βάλλειν τὸν ὀνειδιζόμενον καὶ λυπούμενον. κατήφεια δὲ ἡ στυγνότης.
Καταχήνη. ἡ χάσμησις.
Καταγκανιέυεται. καταχύει. καταχαυχᾶται.
Κατασπέρχων. κατασπεύδων. καταπλήσσων.
Κατοιχουμένου. νεκροῦ. τεθνεῶτος.
Καπαγεῶς. κεκλασμένως.
Καταγώγιον. οἴκημα. κατάλυμα.
Καταδεύεται. φοβεῖται. κατακρύπτεται. βυθίζεται.
Κάμμορος. κακόμορος. κακοθάνατος.
Κατα συναίρεσιν. κατὰ συνήθειαν. δημοδεῶς.
Κάσπιτος. ἡ τάφος. ὄρυγμα.
Κατα κόῤῥης. κατὰ σιαγόνος.
Καταλύσας. καταμείνας. καταλαβῶν.
Κατώδυνος. λυπηρά.
Κατανυγεὶς. λυπηθεὶς. καταγνοὺς.
Κατὰ τὸ αὐτὸ. ἐπὶ τὸ αὐτό.
Κατα χέσιν. κατ᾽ ὀργὴν ἢ ἄλλην τινα διάθεσιν
Κατήγορος. δηλάτωρ.
Καχεξία. ἡ ἀρχὴ τῶν λοιμικῶν νόσων.

Καχέσπερος. ἐκ τοῦ κακὸς καὶ τοῦ ἕσπερος. ὃ σημαίνει τὸ σκότος γίνεται κακοέσπερος. καὶ ἐπεὶ ψιλὰ ψιλῶν προηγοῦνται ἐτράπη τὸ κ' εἰς τὸ χ. καὶ συγκοπῇ τοῦ ο καχέσπερος. σημαίνει δὲ τὴν κάκιστον καὶ σκοτεινὴν νύκτα τῆς ἁμαρτίας.

Κατασοφισόμεθα. τεχνασόμεθα. μηχανῇ τινὶ κακώσομεν.

Κατάποσον. πλεονάκις.

Κατεστρατοπέδευσε. κατέδραμε πολεμικῶς.

Κατέαξαν. κατέκλασαν.

Κεῖος. σημαίνει τὸν πολίτην.

Κατωρχήσαντο. κατεχάρησαν. ἐνέπαιξαν.

Κατέρρυξεν. ἐσάπη. ἠφάνισαι.

Κατορρυγῶσι. ταφῶσι.

Καταλεγέσθω. καταταττέσθω.

Κατερρηγότα. περιερρηγμένα

Κέαρ. ψυχή.

Καταπεπλατισμένα. καταπιναρομένα.

Κατενεμήσατο. κατεβοσκήθη.

Κατέδευσας. κατέβρεξας.

Κῆπος. ὁ περιτεθειμένος τόπος.

Καταλογάδην. τὰ πεζὰ. λογογραφούμενα.

Καταμπιπράσθαι. κατακαίεσθαι.

Κατὰ συνδυασμὸν. κατὰ κοινωνίαν. καὶ σύμπραγμα.

Κατεψεγμένος. καταβληθεὶς.

Κατ' οὐρὰν. κατ' ὄπισθεν. ἐκ τῶν ὀπίσω.

Κατηντιβόλει. ἐδεῖτο. παρεκάλει.

Καταπενυγμένον. ἀσθενῆ. ἄνανδρον. ἄπρακτον.

Κατοίκισις. καὶ κατῴκεσις διαφέρει. κατοίκισις μὲν ἐστι διὰ τοῦ ι. ἡ ὑφ' ἑτέρου γενομένη ἵδρυσις. κατῴκησις δὲ διὰ τοῦ η. ἐὰν αὐτοὶ οἰκήσωσι πόλιν τινὰ ἢ τόπον καταλαβόντες ὑφ' ἑαυτῶν.

Κατορρωδικότες. πεφοβημένοι.

Κατασκελετούμενα. λελεπτυσμένα. ἐξησθενηκότα. ἀφανισθέντα.

Καθ' ὑπόθεσιν. ὡς ἐν ὁμοιώσει.

Κατὰ στόμα. κατὰ πρόσωπον. κατὰ τὴν ἀρχήν.

Κατανεῦσαι. συγκατανεῦσαι. ἐπιθέσθαι.

Κατανείμας. καταμερίσας.

Καυρός. κακός.

Κάσαντες. κατακρημνόν. κατωφερές.

Κατὰ ἀναλογίαν. κατὰ ἴσον.

Κείαι καίω.

Κατάρρυτον. ἀρδεύσιμον. καθ' ὕδατος.

Κατάγελος. ὀνειδισμός. ἐξουδένωμα.

Κεῖθι. ἐκεῖ.

Καχλάζει. φλεγμαίνει. ταράττεται. βράζει.

Κεδνός. συνετός. σώφρων. καλός.

Κείω. κοιμῶμαι.

Κηριαι. ἐπιτάφιοι δεσμοί.

Κεδάζω. σκεδάζω.

Κεκομψευσμένος. σεμνός. ἢ εὐκαλλόπιστος.

Κειμήλιον. δῶρον καὶ χρῆμα ἀπόθετον. ἢ σκεῦος.

Κεχευθμένον. καταχεχρυμμένον.

Κεῖρα. ἡ ἡλικία.

Κεκρόπιδα. ἀπικήν. τοὺς ἀθηναίους.

Κεκιβδήλευται. διαβέβληται. κατέγνωσαι. ἀποδοκίμασαι.

Κεκομψωμένος. πεφυσιωμένος. ἀπὸ μικροῦ ἐπαίνου. κεκου=
φισμένος.

Κεκάδοντο. ἐφρόντιζον. ἐλυποῦντο

Κεκάμω. κοπάσω.

Κεκλόμενος. παρακελευόμενος.

Κεκορυθμένα. ἐνοπλισμένα.

Κελλάριον. κεκρυμμένον.

Κεκονιαμένοις. στιλβωμένοις. λελαμπρυσμένοις.

Κελεός. ὄρνεον.

Κέκμηκα. παρὰ τὸ καμῶ. καμήσω. κεκάμηκα. καὶ
κατὰ συγκοπὴν κέκμηκα.

Κευθμῶνας. ἀφεγγεῖς τόπους.

Κοιαίστωρ. βασανιστής. ῥωμαϊκὸν ἀξίωμα. καὶ κλίνεται κοι=
αίστορος ὁ συζητῶν καὶ ἐρευνητὴς ἐπὶ χρήμασι. κοι=
αισίτωρ δὲ κατ᾽ ἐπέκτασιν καὶ συλλαβῆς προσθή=
κην ἐπ᾽ ἐγκλήμασιν οἱονεὶ ὅτι μωρὸς καὶ τῶν
αἰτημάτων μεγαλημμάτων ἐρευνητὴρ σεμνότατος.

Κέκευθαι. κέκρυπται.

Κεκληγῶς. βοῶν. κεκραγῶς.

Κεκλυτέ μευ. ἐπακούσατέ μου.

Κεκυφότα. ταπεινόν.

Κελαρύζειν. κυρίως ἐπὶ ὕδατος. διὰ τὸ μετ᾽ ἤχου ῥεῖν. καὶ ψοφεῖν.

Κενούμενος. κατερχόμενος.

Κέκροψ. ἀπατεών. ἢ καὶ γένος πιθήκου.

Κεκυφώς. κυρτός.

Κεκόπακεν. ἐπαύσατο. πέπαυται.

Κεκόλαπται. γέγλυπται.

Κεκηλίδωται. μεμίανται.

Κεκραιπαληκώς. εὐφραμμένος. ἢ εὐφραινόμενος.

Κέλλω. σημαίνει β. τὸ προστάσσω καὶ βαδίζω.

Κεκαυτηρισμένος. μὴ ἔχων ὑγιῆ τὴν συνείδησιν.

Κέλευθος. σημαίνει δὲ β. τὴν διὰ γῆς ὁδὸν καὶ θαλάσσης.

Κελαινόν. μελανόν. δεινόν.

Κελαδοῦσιν. ἠχοῦσιν.

Κελαρύζει. φωνεῖ. ἠχεῖ. ὅθεν καὶ λακέρυζα ἡ κορώνη λέγεται.

Κέλητα. μονάτορα ἵππον. ὁ δρομικὸς ἵππος. κέλλειν γὰρ τὸ τρέχειν.

Κενοφωνίαις. ματαιοφωνίαις. ἀσέβεσιν. ἤγουν αἱρετικαῖς.

Κενεῶνα. τὸν λαγῶνα. διὰ τὸ εἶναι αὐτὸν κενοῦν ἐκτὰ σπλάγχα.
Κένον. κοῦφον. ἢ μάταιον.
Κεντυρίων. ἑκατόνταρχος.
Κέντριον. τὸ βούκεντρον.
Κεντηνάριον. λίτρα ρ. κέντου γὰρ ῥωμαῖοι τὰ ρ. φασί.
Κένταυρος. παρὰ τὸ κεντεῖν καὶ τὸ αὔρα δ' ἐστι πνοὴ τοῦ ἀνέμου.
Κέραμος. τὸ δεσμωτήριον παρὰ τοῖς γλωσσογράφοις. παρὰ δὲ κυπρίοις τὸ ἀγγεῖον. παρὰ δὲ ἀριστάρχῳ ὁ πίθος.
Κέρας. σημαίνει πολλά. κέρας μέρος πολέμου. καὶ τὸ κέρας τοῦ ζώου. καὶ τὴν βασιλείαν. καὶ τὴν δόξαν. καὶ τὴν τρίχα. καὶ τὸ τοῦ θυσιαστηρίου ἄκρον.
Κεράτιον. δὲ σημαίνει γ. τὸ μικρὸν κεράτιον. τὸ ξυλοκέρατον. καὶ εἶδος μέτρου χαλκοῦ.
Κενεμβατεῖ. εἰς κενὰ ἐπιβαίνει. ἢ ἐπιχειρεῖ.
Κενέφας. σπόγγος.
Κέειτο. κεῖτο.
Κενὴν. δόξαν. κεκενωμένην δόκησιν.
Κεραὸν. κεφαλὴν μεγάλην ἔχοντα.
Κεντυρίωνες. μανδάτωρες.
Κερκόπων. δολίων ἀπατεώνων. κολάκων. οἱ καθάπερ ἡ ἀλώπηξ τοὺς θηρευτικοὺς κύνας ἀπατᾷ τῇ κέρκῳ. τῇ δὲ κακεῖσε. ὁμοίως καὶ οὗτοι τοὺς ἀπλουστέρους φαινακίζουσι τῇ κέρκῳ τῶν λόγων.

Κεκρυφει. ἔκρυψεν.
Κερατίων. ξυλοκεράτων.
Κεράσαι. τὸ παλαιὸν ἐν κεράτι ἔπινον. ὅθεν καὶ ἡμεῖς, αὐτὸ ποιοῦμεν.
Κερτομεῖ. χλευάζει. σκώπτει. ὑβρίζει.
Κερασφόρος. κερατοφόρος.
Κερκος. ἡ οὐρὰ.
Κεραλλαὶ. τὴν τρίχα λαμπρέ.
Κεραυνοῦντος. κιρνῶντος.
Κεράσας. ἑνώσας. συνάψας.
Κεράννυσι. κιρνᾶ.
Κέρκωψ. παιγνιώδης.
Κερδαλέος. ποικίλος. πανοῦργος. συνετὸς καὶ ἀπατεών.
Κεραυνος. βροντὴ καὶ χάλαζα.
Κέρδος. κυρίως τὰ διὰ τῶν χειρῶν διδόμενα. δύναται δὲ καὶ παρὰ τὸ κέαρος ἄδος εἶναι τὸ τῇ ψυχῇ ἀρέσκον.
Κερκὶς. εἶδος φυτοῦ. ἐξ οὗ καὶ κερκίδιον τὸ τῶν γυναικῶν ἐργαλεῖον.
Κερόεις. σημαίνει τὸν ἔχοντα κέρατα.
Κερδαλέη. ἡ ἀλώπηξ. ἡ ἀπατεών.
Κεχρισμένα. ἠλειμμένα.
Κέρβερος. κύων ἐν ἅδου τρικάρηνος.
Κεραΐζων. ἀναιρῶν. πορθῶν. ἁρπάζων. αἰχμαλωτίζων.

Κέρδιον. ὠφελιμώτερον.
Κερδαλεόφρων. πανοῦργος. κέρδος. τὸ διὰ δόλου πείθειν.
Κεστὸν. ἱμάντα ζωστῆρα οὕτω καλούμενον.
Κεστὸς. ὁ κεκοσμημένος. ἔνδυμα ἀφροδίτης. καταχρηστικῶς δὲ καὶ τὰ τῶν γυναικῶν φανταστιώδη ἐνδύματα.
Κεύθεται. κρύπτεται.
Κεφάλαιον. ζήτημα ἄκρον.
Κεφαλαίωσον. συντόμησον. συνάγαγε.
Κήδη. τὰ πένθη.
Κεχρησμώδεται. μεμάντευται. πεπροφήτευται.
Κεχειρομένοι. κερατημένοι.
Κεχηνὼς. χαύνος. ἐνεὸς. ἢ χαίρων.
Κεχειροτόνηται. προβέβληται.
Κεχολώσεται. ὀργισθήσεται.
Κὴρ. ὀξυνόμενον σημαίνει τὴν ψυχήν. περισπώμενον δὲ τὴν θανατηφόρον μοίραν.
Κηλώνιον. ὁ ἵππος.
Κῆδος. ἡ συναλλαγὴ τοῦ γάμου. ἢ τοῦ πένθους.
Κηκὰς. ἡ ἀλώπηξ. καὶ ἡ κακολόγος. καὶ λοίδωρος
Κηληθμῷ. θέλξει. τέρψει.
Κηκὶς. σημαίνει τὰ κηκίδια.
Κηδὰρ. σημαίνει τὸν σκοτεινὸν τόπον.
Κήδω. θάπτω. καὶ λυπῶ. ἐξ οὗ καὶ κηδεύω.

Κήλη. τὸ πάθος τοῦ ὄρχεως.
Κηλέῳ. πυρὶ καυστικῷ.
Κῆρ. ψυχή. ἢ καρδία. ἢ θάνατος.
Κηδαιμονία. εὐεργεσία. φροντὶς.
Κήδομαι. φροντίζω.
Κήδεται. βοηθεῖ. φροντίζει. ἐπιμελεῖται.
Κηδείαν. ταφὴν. ἐκφορὰν.
Κηδεστὴς. πενθερὸς. ἢ πατὴρ.
Κηδεμὼν. φροντιστὴς.
Κηδούμενος. τερπόμενος.
Κηλὶς. τὸ μόλυσμα. ἕλκος. οὐλή. ῥύπος.
Κηληθμὸς. ἡσυχία.
Κημὸς. εἶδος χαλινοῦ. ἢ φίμος. ἢ τὸ κούρκουμον.
Κηλώνιον. ξύλον ἐν ᾧ ἕλκετο τὸ ὕδωρ.
Κηχὴ. ῥύπος
Κιώδη. εὐώδη. τεθυμιασμένον.
Κίβδηλον. νόθον. ἀδόκιμον.
Κιβωτὸς. λάρναξ. κίστη.
Κὶς. κιὸς. ὁ σκόληξ.
Κήλησις. ἡ ἡδονὴ ἡ διὰ τῶν λόγων καταχλῶσα.
Κήτοι. μεγάλοι. παρὰ τὸ κῆτος.
Κήρυξ. ὁ καλῶν. καὶ ὁ πρεσβεύων.

Κισσύβιον. ποτήριον.

Κιγκλὶς. ὁ τοῦ δικαστηρίου κάγκελλος καὶ εἶδος θύρας.

Κιγκλίζει. σαλεύει. μοχλεύει. ἦχον ποιεῖ. κινεῖ.

Κιθαίρων. ὄρος ἐν Βοιωτίᾳ.

Κίδαρις. περίθεμα κεφαλῆς εὐκόσμιον. καλόν.

Κίδαρις. εἶδος καμαλαυκίου.

Κηρὸς. ὅτι καιόμενος ῥεῖ. ἢ παρὰ τὸ καίεσθαι ῥαδίως.

Κίβδηλον. τὸ ἀπερριμένον καὶ νόθον χρυσίον.

Κίστη. ἄρκλα πλεκτή.

Κιθάρα. παρακινεῖν εἰς ἔρωτα τοὺς ἀκούοντας.

Κῆθος. τῆς στρατείας τὸ ἄθροισμα.

Κίλιξ. ὄνομα κύριον βασιλέως. ἀφ᾽ οὗ καὶ κιλικία κέκληται.

Κίδναται. σκεδάννυται. σκορπίζεται.

Κικλήσκει. καλεῖ.

Κιμείλια. τὰ ἀπόθετα χρήματα.

Κίναιδος. ἀπολλώμενος. ἀσελγής. ὁ κινῶν ἑαυτοῦ εἶδος καὶ ἦχος.

Κιῤῥὸς. ὁ κίτρινος. ἢ πυῤῥὸς.

Κινύρα. ὄργανον μουσικόν. κιθάρα.

Κίνησις. ἀγών. πόλεμος. ταραχὴ. σεισμός.

Κίρκος. κωπηλάτης. ἢ ἱέραξ.

Κλεινός. ἔνδοξος.

Κιχλισμός. λεπτός καὶ ἀκόλαστος γέλως.

Κηώεις. παστὸς θάλαμος.

Κῆλα. δῆλα ὄντα τινὰ φανερά.

Κιχήσατο. κατέβαλε.

Κλαγγή. ἡ τῶν γεράνων βοή. καὶ φωνὴ ὀρνέου.

Κλαρία. ψελλία βραχιόνων.

Κλαίω. θρηνῶ.

Κλάειν. κλαίειν. ὡς κάειν. καίειν.

Κληστή. ἡ ἐξέχουσα.

Κλαίψυδρα. ὄργανον ἀστρολογικόν. ἐν ᾧ αἱ ὧραι μετροῦνται.

Κλητῆρες. μάρτυρες.

Κλύσαντα. βυθίσαντα.

Κλισίαι. σκηναί.

Κλῆρος. ὁ καλῶν ἐφ' ἑαυτὸν τὸν λαχόντα. ὡς δὲ ἡρωδιανός. παρὰ τὸ κάλον τὸ ξύλον ἐπεὶ ἐν ξύλοις ἐχαράσσοντο οἱ κλῆροι.

Κληδονίζεται. ἀπὸ ἀκοῆς τὰς μαντείας δέχεται.

Κλεῖν. τὴν κλεῖδα.

Κληροδοτεῖ. λαχμῷ καὶ μερίδι ὑποβάλλει.

Κλητός. ὁ καλεστός.

Κλείω. σημαίνει τὸ δοξάζω καὶ τὸ ἀσφαλίζω.
Κλήτοι. γονεῖς.
Κλείτη. μία τῶν ἀμαζῶν
Κίστης. ἡ ἐνδεσματοθήκη.
Κιχώρια. στρίδες. ἢ πικράδες
Κιχάνω. καταλαμβάνω.
Κίω. πορεύομαι.
Κιχρῶ. παρέχω.
Κλαγγηδὸν. μετὰ κραυγῆς.
Κλίτος. τὸ μέσον τῆς οἰκίας ὡς τὸ πεσεῖται ἐκτὸς.
Κλισιάδες. αἱ δίπτυχοι θύραι.
Κλυδώνιον. κῦμα.
Κλύειν. ἀκούειν. αἰσθάνεσθαι.
Κλυδώνισμα. ὁ κίνδυνος.
Κλεῖθρον. τὸ κλειδίον.
Κλονουμένου. ταρασσομένου.
Κλύτος. δόξα.
Κλῆθρα. μοχλοὶ. ἀσφάλειαι. κληδόματα.
Κλαυθμυρίζεσθαι. κλαίειν παιδικῶς.
Κλητικὴ. ἡ τὰ ὀνόματα καλοῦσα.
Κλείσιον. σημαίνει τόπον ἔνθα ἵσανται τὰ ζεύγη.
Κλόνος. ταραχὴ πολέμου.

Κλειτός. ἔνδοξος.
Κλέος. δόξα.
Κνίζωσι. λυπῶσι.
Κλοιός. ὁ ζυγὸς τῶν βοῶν. καὶ περιτραχήλιος δεσμὸς καὶ ἡ ἅλυσις. καὶ τὸ χρυσοῦν περιδέῤῥαιον ἤτοι τὸ περιτιθέμενον ἐν τῷ τραχήλῳ κόσμιον.
Κλῦτε. ἀκούσατε.
Κλῆμα. κλίματος διαφέρει. κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. κλίμα δὲ μέρος τι τοῦ κόσμου
Κνυζηθμός. ὁ τῶν κυνῶν κλαυθμός.
Κλίβανος. ὁ φοῦρνος.
Κνάζει. βοηθεῖ.
Κνέφας. σκότος.
Κνίψ. κνιπός.
Κλισμοῖσι. θρόνοις.
Κλίμαξ. ὅπερ λέγουσι σκάλα.
Κνίψ. ἐστι κωνοποειδὲς πτηνόν.
Κνήμη. τὸ ὄπισθεν τοῦ σκέλους.
Κνῖσα. καπνός. λίπος. ἢ ἀναθυμίασις.
Κνύειν. κρούειν ἐλαφρῶς.
Κνώμενοι. κνηθόμενοι.
Κνώδαλα. θηρία μικρά. κυρίως μὲν τὰ θαλάσσια ποτὲ δὲ καὶ τὰ χερσαῖα.

Κνώδαλα. κυρίως τὸ θαλάσσιον κῆτος.
Κόβαλος. πανοῦργος.
Κοδράντης. λεπτὰ δύο. ἢ τὸ πᾶν.
Κοκκὴς. ὁ πρόγονος.
Κοθόρνος. γυναικεῖον ὑπόδημα. ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. ἀμφοτεροδέξιον.
Κοινὸς. σημαίνει δύο. ὁ μεμολυσμένος. καὶ κοινὸς ὁ κεκοινωμένος καὶ ἀναμεμιγμένος πολλοῖς.
Κοῖος. ὁ πατήρ.
Κομπάζω. μεγαλοφωνῶ. καυχῶμαι. ἀλαζονεύομαι.
Κομμωτὴς. ὁ καλλωπιστής.
Κολοβόριν. ὁ μικρὰς ῥίνας ἔχων.
Κολοφῶνα. τὸ πέρας τοῦ πράγματος. ἢ τὸ τῶν ἄκρων τέλος.
Κοιρανέων. βασιλικῶν διαταγμάτων.
Κοίλη. βαθεῖα.
Κόλον. δόρυ κεκλασμένον.
Κολοιὸς. παρὰ τὸ κολωὸς ὃ σημαίνει τὴν κραυγὴν καὶ τὸν θόρυβον. κραυγαστικὸν γὰρ τὸ ὄρνεον καὶ ἄτακτον.
Κολοσσὸς. ἀνδριὰς εἴδωλον.
Κολωνὸς. ὄρος βουνὸς.
Κοίτη. σημαίνει τὴν γυναικείαν ἐπιθυμίαν καὶ τὸν κοιτῶνα ἐφ᾽ ὃν ἀναπαύομεν τὰ σώματα.

Κομπάζειν. μεγαλοφρονεῖν. σεμνύνεσθαι.
Κόλυβα. συναγωγὴ σίτου ἐστι.
Κομιδή. συναγωγὴ. ἐπιμελείας. σημαίνει δὲ καὶ τελείως καὶ πάν.
Κόμψος. εἴρηται ἐπὶ τοῦ πανούργου. καὶ ἐπὶ τοῦ μετρίου καὶ ἐπιεικοῦς.
Κοινίον. πορνίον. ἐφ' οὗ κοινοῦταί τις.
Κοίταις. γυναικείαις ἐπιθυμίαις.
Κοινολογεῖται. κοινῇ διαλέγεται.
Κουλεός. ξιφοθήκη.
Κοίναρος. βασιλεύς. ἀρχηγός.
Κολαβριαθείησαν. περιῤῥαγείησαν. χλευασθείησαν.
Κνῆμαι. τὰ μέλη τοῦ σώματος.
Κολοφών. τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται καὶ ἐπὶ κακῶν μεγάλων.
Κόλλυβον. συνήγαγον.
Κολοσυρτός. κονιορτὸς ἢ θόρυβος.
Κόλλυβος. εἶδος νομίσματος.
Κότινος. στέφανος ἀπὸ ἀγριελαίου τεθειμένος ἐν τοῖς ὀλυμπίοις.
Κολλυβιστής. τραπεζίτης. καὶ κερματιστής.
Κολος. ὅ ἐστι κολυβὸν φαίνεσθαι. τουτέστιν ἀτελείωτον.
Κολάπτει. γλύφει. ἢ κλώθει πρὸς τῷ γόνατι.

Κόναβος. ἦχος. ψόφος.
Κομήτης. ἀστὴρ ἐκλάμπων.
Κολοβοῖ. ἐπικόπτει. ἀκρωτηριάζει.
Κόνδυ. ποτήριον.
Κομψείαις. πιθανολογίαις. ἢ καλλόπιστις.
Κομενταρίσιοι. οἱ νῦν Χαρτουλάριοι οἱ ταῖς ἐγκληματι=καῖς ὑπηρετοῦντες δίκαις ὑπασπιζόντων αὐτοῖς ἐκπλικιταρίων. κουβικουλαρίων.
Κομενταρίσιος. Χαρτουλλάριος.
Κόμη. ἡ τῆς κεφαλῆς κόμη διὰ τὸ κομᾶν. ἤγουν θάλλειν τὴν τρίχα.
Κομμώτρια ἐμπαίκτρια. ἡ κοσμοῦσα τὰς γυναῖκας κουρίσασα.
Κόμπος. ψόφος. ἦχος. ἀλαζονία. βροντή.
Κονσιστόριον. βασιλικὸν σέκρετον.
Κομμονιτόριον. ἐπιστολὴ προστακτική.
Κόμμος. ἡ μεγαλοφροσύνη. καὶ ἡ περιφανία.
Κομμεῖν. τὸ σῶμα ὡραΐζειν. ἐπεὶ καὶ κομμωτρίαν λέγουσι τὴν κόσμουσαν καὶ ἐμπλέκουσαν. καὶ τὸ κομμῆσαι τὸ ἐπιμελείας ἀξιῶσαι.
Κόπις. ὁ ῥήτωρ. κοπὶς δὲ ὁ φλύαρος καὶ λοίδορος.
Κονσουλάριος. ὑπατικός.
Κομᾷ. γαυριᾷ. μεγαλοφρονεῖ. στεφανοῦται. χλοηφορεῖ τριχῶν περιβολῇ κοσμεῖται.

Κονίζεσθαι. κονιορτοῦσθαι.

Κομμονιτώριον. ἐπιστολὴ προστακτικὴ ἀποστελλομένη εἰς χώραν.

Κομίατον. ἐξαίτησις τοῦ ἀφεθῆναι.

Κονσιστόριον. θεῖον συνέδριον.

Κόνεως. χοός. κονιορτοῦ. σφαιροειδὲς τὸ ἀπὸ πλατέως εἰς ὀξὺ λῆγον σχῆμα. ὠστρόβιλος.

Κνῆστις. σκευός τις ᾧ ἐπιξύουσι τὸν τυρόν.

Κόρωνος. ὁ γαῦρος.

Κνῖσα. ἡ ὀσμή.

Κνίδα. ἡ βοτάνη.

Κνυζώσω. συμπιάσω. κακώσω.

Κνωσός. πόλις ἐν κρέτῃ.

Κοπετός. θρῆνος μετὰ ψόφου χειρῶν.

Κοπίς. ὁ ξίφος.

Κορωνίς. τὸ τελευταῖον τῆς οἰκοδομῆς. καὶ τὸ χαράκιν ἢ ἐπίθεμα στεφάνη καὶ τὸ ἀκρότατον τῶν λόγων. κορωνίδα καὶ τοῦ πλοίου ἡ ἀπόστροφος.

Κορώνη. ὄνομα πόλεως καὶ πετεινοῦ.

Κορυβαντιῶν. μαινόμενος. δαιμονιζόμενος.

Κορδακίζει. αἰσχρὰ ὀρχεῖται.

Κόρριον. μικρὸν κοράσιον.

Κούραις. παρθένοις.

Κορυβάντες. κρύβαντές τινες ὄντες ἀπὸ τοῦ κρύβειν
τὸν δίαν ὡς μυθεύεται ὅτι κατέπινεν ὁ κρόνος τὰ
τῆς ῥέας τέκνα.
Κορύνη. βάκλον/ῥόπαλον.
Κοῦροι. νέοι.
Κουριδίας. παρθενικῆς γυναικός.
Κορέω. γεμίζω.
Κοῦρον. παῖδα ἄῤῥενα.
Κόρυθα. περικεφαλαίαν.
Κόραλλον. λίθος παραθαλάσσιος ἐρυθρός.
Κόῤῥη. ἡ ὄψις. καὶ τὸ πρόσωπον.
Κόρσην. κεφαλήν.
Κόρυβος. εὐήθης μωρός τις. μετρῶν τὰ κύματα.
Κορύνη. ῥόπαλον. οἱ δὲ ξίφος. οἱ δὲ ξύλον ἐπικαμπές.
Κορωνίσι. κεφαῖς.
Κοσμεῖν. βίβλους ἢ σαίρειν.
Κόρυζα. μύξων. πλεονασμὸς καταῤῥους.
Κορυφή. ἡ ἄκρα τοῦ ὄρους.
Κότινος. ἀγριέλαιος
Κορυφαιότατος. μείζων ἐξοχότατος. ἐνδοξότατος.
Κόσυμβος. ἀναδεσμὸς κροσωτός. χιτών.
Κοσμίως. σεμνῶς. ἀνεπιλήπτως.
Κολοβός. κονδός.

Κραδαίνεσθαι. σαλεύεσθαι.
Κρυμός. πάγος. ψῦχος.
Κῶλα. σκέλη. πόδας.
Κοσμιωτάτη. εὐγενεστάτη. εὐκαλλώπιστος.
Κυάθους. σκαφιόλια.
Κοτεῖ. φθονεῖ. ζηλοῖ.
Κοτύλη. κράσεως μέτρον.
Κουροτρόφος. παιδοτρόφος.
Κρᾶμα. κέρασμα. σμίγμα.
Κοῦφος. ἐλαφρός.
Κράνειον. ὁ κάρπος καὶ ὁ τόπος. ἢ ὁ ἐν κεφαλῇ διὰ τοῦ ι.
Κράνειον. τὸ γυμνάσιον.
Κραιπάλη. τρυφὴ μέθη
Κόσμος. ὁ πάντα ἐν ἑαυτῷ διατεταγμένα ἔχων καὶ διακεκοσμημένα.
Κότος. ὁ θυμός.
Κοτέον. ὀργιζόμενοι.
Κρεάγρα. τριοδόντην ἐργαλεῖον χαλκοῦν. δι᾽ οὗ ἀνέσπων τὰ κρέη ἐκ τῶν λεβήτων.
Κοχλιάριον. τὸ κοχλίον αἶρον. ἢ ὅτι τὰ κοχλία ἄρτυνται αἴρει.
Κουστωδία. στρατιωτικὸν σῆφος. ὃ βάνδον ῥωμαῖοι καλοῦσι.
Κράδη. συκῆ.
Κραδοφάγος. συκοφάγος.

Κραδαίνει. σείει. σαλεῦ.
Κράνος. περικεφαλαία.
Κράσπεδον. τὸ ἄκρον τοῦ ἱματίου. ἔνιοι δὲ τὰ κρόσσια
τοῦ χιτῶνος
Κραταιᾶ. κράτει νίκη.
Κρουνῶν. ῥευμάτων
Κράτος. ἐξουσία. δόξα. ἰσχὺς. ἀρχή.
Κραίνω. τὸ ἄρχω.
Κουράτωρ. φύλαξ. ἐπόπτης.
Κρανίον. ἐν ᾧ κρέμεται ὁ νοῦς.
Κρασίν. κάραν σείειν.
Κραιπάλη. τρυφή. μέθη. ἀκρασία.
Κρατερόν. ἰσχυρόν.
Κρήδεμνον. κεφαλοδέσμιον.
Κρήγυον. ἀληθές.
Κρητίζει. ψεύδεται.
Κρείων. βασιλεύς.
Κραιπάλη. ἐξ οἴνου. κλόνος καὶ παλμός.
Κρητῆρες. κρατῆρες.
Κρίνας. ἐπιλεξάμενος.
Κρηπίς. ὑπόβαθρος θεμέλιος καὶ εἶδος ὑποδήματος
καὶ σφαλισμὸς καὶ ὄχθα.
Κρίσεως. δοκιμασίας. ἀκολουθίας.

Κρηπῖδα. βαθμίδα. βάσιν ποδός. καὶ στήριγμα. ἀρχὴν. ὄχθαν. θεμέλιος.

Κροαίνων. κτυπῶν. τοῖς ποσὶ κρούων.

Κρημνοβάτης. νευροβάτης.

Κροτήσατε. χεῖρας. ἐπαινήσατε χερσί.

Κρείσσων. ὁ μέγας. καὶ κρεῖσσον τὸ βέλτιον.

Κρῖ. ἡ κριθή.

Κρήηνον. ἀντὶ τοῦ ἐπιτέλεσον.

Κρύβδην. λαθραίως.

Κρίβανος. σημαίνει τὴν κάμινον καὶ τὸν φοῦρνον.

Κρίνον. λέγεται ἡ κολόκυνθα.

Κριτὴς. ὁ δικάζων καὶ κρίνων.

Κριὸς. τὸ ἄστρον. ἤτοι τὸ ζώδιον.

Κρόνος. σημαίνει δύο. κύριον ὄνομα. βασιλέα αἰγύπτου. καὶ τὸν ἀστέρα.

Κροσσὸς. καὶ κρόσσιον. τὸ κρεμάμενον ἐν τοίχοι. καὶ ἀλυσείδιον.

Κτίλος. ὁ κριὸς ὁ προηγούμενος τῶν προβάτων.

Κτῆσις κτίσεως διαφέρει. κτῆσις μὲν γάρ ἐστι κυρίως τὰ ἤδη ἃ κτώμεθα κινητὰ καὶ ἀκίνητα. κτίσις δὲ ἡ δημιουργία οὐρανοῦ καὶ γῆς.

Κτείνειν. ἀναιρεῖν. ἀποκτείνειν.

Κτᾶσθαι. ἀγοράζειν. ἢ φονεύειν.

Κτηνώδης. ἀλογότερος.

Κρησφύγετον. φρουριαὶ καὶ καταφυγαί τινες οὕτω λέγονται. ἐν οἷς ἐκρύπτοντο οἱ νησιῶται. μίνωα φεύγοντες.

Κρύος. ῥίγος. ψῦχος. πάγος.

Κρύσταλλος. τὸ πεπηγὼς ὕδωρ.

Κρόβαλος. ὁ μαλλὸς τῶν παίδων.

Κυβεία. πανουργία.

Κρώζει. ὡς κόραξ ἢ ὡς κορώνη κράζει.

Κυβεῦσαι. πέξαι. ταβλίσαι.

Κυβιστῶσι. πηδῶσι. καὶ κυβιστὴς ὀρχιστής.

Κτῆσις. περιουσία.

Κύαθος. ἀντλητήριον μετρὸν ὑγρὸν οὐγκίων δύο.

Κύμβη. κυρίως τὸ ἐπὶ τὴν κεφαλὴν πάθος γινόμενον.

Κυμῶμαι. σαλεύομαι. κινοῦμαι.

Κυανῶν. τῶν αἰθιόπων.

Κύβος. βολίον. ψῆφος καὶ τὸ κύφος. ἢ πᾶν τετράγωνον.

Κυβέρνησιν. φρόνησιν.

Κυδοιμός. θόρυβος. τάραχος.

Κυδάλιμος. ἔνδοξος. τίμιος.

Κύδος. παράσημα ψυχῆς. δόξα. δύναμις. φήμη.
Κυδιόων. γαυριῶν. ἐπαιρόμενος. χαίρων.
Κύαμος. φάβα μέγα παρὰ τὸ κύειν αἷμα.
Κύει. γεννᾷ.
Κυθηρία. νῆσος.
Κύθηρα. ἡ πόλις τῆς ἀφροδίτης. καὶ ἡ ἀφροδίτη.
Κυζηθμός. ἡ ἀσαφὴς βοὴ τῶν κυνῶν.
Κρόταφος. παρόπι ἐστὶ τάφος τοῦ ὀφθαλμοῦ.
Κρόταφος. καλεῖται οὕτως. ἐπειδὴ ὁ κρουόμενος
εἰς αὐτοὺς τάφον ἔχει καὶ ἔκπληκτος γίνεται.
Κτεὶς. ὁ κτένιον.
Κυβαρσία. τὸ τὴν κεφαλὴν καλύπτειν. ἔνιοι δὲ
τὴν τριχεφαλαίαν.
Κύθρα. καὶ χύτρα. τὸ τζοκάλιον.
Κύλιξ. ποτήριον. ἡ φιάλη.
Κυλίχναι. λεκανίδες καὶ τριβλία ἢ φιάλαι.
Κύλοι. βλέφαρα.
Κυμᾶσθαι. κυρίως τὸ μετ᾽ ἤχου ἀναζέει.
Κυκεὼν. τὸ ἐξ οἴνου καὶ μέλιτος καὶ ἀλφίτων
καὶ ὕδατος καὶ πυροῦ ἀναμεμιγμένον πόμα.
Κυκᾷ. ταράττει.
Κυκλοφορεῖται. κύκλον φέρεται. κινεῖται.
Κυέστωρ. κριτὴς. βασανιστὴς.

Κύκλος. σφέρα. ἢ κόσμος. ἢ ἐνιαυτός.
Κυμαίνεται. ταράττεται.
Κυνηδόν. ὡς κύων.
Κύμβαχος. ἐπὶ κεφαλῆς πεσὼν καὶ ἄνω τοὺς πόδας.
Κύντερον. ἀναιδέστερον.
Κυναίων. περικεφαλαίων.
Κυοφορούσης. ἐγκυμονούσης.
Κυνοραῖσαι. κρότωνες οἱ τῶν κυνῶν τὸ αἷμα ἐκπιπί=
ζοντες.
Κύπελλον. ποτήριον
Κυπρίζουσαι. ἀνθοῦσαι.
Κῦρος. ἐξουσία.
Κύρσας. τυχὼν ἐπιβάς.
Κύσας. φιλήσας.
Κυρία ἡμέρα. ὥρα αὐθέντρεια.
Κυκλώπιον. ἐστιν ὄρος καὶ λιβύη.
Κυψέλη. κέραμος δεκτική.
Κύτος. τὸ πλάτος καὶ τὸ μῆκος.
Κύφελλα. τὰ νέφη.
Κύστις. ἐφήβιον. ὑπογάστριον φυσάλα. παρὰ τὸ κύειν
τὸ οὖρος.
Κύω. σημαίνει γ. τὸ φιλῶ. τὸ γεννῶ. καὶ τὸ προσ=
κυνῶ.

Κώθον. ποτήριον.

Κότυλος. ὄρνεον οὕτω καλούμενον.

Κωθωνῆσαι. μεθύσαθαι.

Κωκύω. ἐπὶ ζώου. κωκύω δὲ τὸ θρηνῶ.

Κώδιον. δέρμα. προβάτου.

Κώδεια. μήκωνος ἡ κεφαλή.

Κωμάζει. κῶμον ἄδει.

Κωμικὴ. ἀκτικὴ.

Κωδικέλλοις. ἐκ τοῦ κώδιον τὸ δέρμα γίνεται κω=
δίκελλος.

Κωδίκελλος ἡ μετὰ τῆς διαθήκης βουλήρω Χάρτης
ἔγγραφος.

Κωκυτὸς. θρῆνος μετὰ κραυγῆς. ὀδυρμὸς. κοπετὸς.

Κωλώτης. ἀσκαλαβώτης. γαλεώτης.

Κώμοις. συμποσίοις. ᾠδαῖς μεθυσικαῖς.

Κωδωνίσω. δοκιμάσω.

Κωμαστὴς. ὁ ἐν παραφορᾷ οἴνου ᾄδων.

Κωμωδίαι. ὕβρεις. διασυρμοὶ. ἐμπέρματα.

Κῶμος. ἡ μέθη.

Κώμη. πόλις.

Κώθων. ποτήριον.

Κώνοι. στρόβιλοι.

Κωμῳδὸς. ὁ ἐν ταῖς κώμαις ᾄδων. σημαίνει τὸν ἀν=τικαταλασσόμενον.

Κωμάζειν. κυρίως. τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν.

Κώνειον. θανάσιμον φάρμακον.

Κωτίλος. πανοῦργος. κολακευτής. ἀπατεών.

Κωνῆσαι. κυρίως τὸ κεράμιον πισσῶσαι. κονᾶν γὰρ τὸ στρέφειν.

Κωμῳδία. τραγῳδίας διαφέρει. κωμῳδία μὲν γὰρ ἐστὶ βιωτικῶν πραγμάτων διήγησις. τραγῳδία δὲ ἡρωϊκῶν παθῶν.

Κωφὸς. ὁ ἐν αὐτῷ τὴν ὄπα ἔχων. κυρίως δὲ τὸν μὴ λαλοῦντα. μήτε ἀκούοντα.

Κωφὸς. καὶ ἐνεὸς διαφέρει. κωφὸς λέγεται τοῖς ἀρ=χαίοις ὁ μὴ φθεγγόμενος. ἐνεὸς δὲ ὁ ἐκ τινος θαύματος μείνας ἄφωνος.

## Ἀρχὴ τοῦ Λ.

Λᾶας. λίθος

Λαβή. διάφορα σημαίνει. τὴν ἐπίληψιν. καὶ ἐπαφήν. ἤγουν ἐπικράτησιν καὶ αἰτίαν τοῦ πολέμου. τὴν ἀφορμὴν καὶ τὴν μέμψιν. καὶ τὴν τοῦ ξίφους λαβήν.

Λαβόμενος. δραξάμενος

Λάβρος. ὁ ἀδηφάγος.

Λαβρὸς. σφοδρὸς.

Λαβύρινθος κοχλιοειδὴς τόπος σκολιὸς. καὶ σκοτεινὴ κατάβασις. λέγεται δὲ καὶ λέξις ἐπὶ τῶν φλυάρων διὰ τὸ πολλοῖς κύκλοις λόγων κεχρῆσθαι.

Λαβρώνιον. εἶδος ἐκπώματος σκέπασμα.

Λάγυνος. ὁ πάνυ δεκτικὸς.

Λάχανος. ὁ ἐλαίῳ βραχεὶς ἄρτος.

Λάγνος. πόρνος. αἰσχρὸς. κατωφερὴς πρὸς τὰ ἀφροδίσια.

Λάγανα. πλακουντάρια. ὡς καπυρώδη ἀπὸ σεμιδάλεως.

Λάϊνον. λίθινον.

Λαΰνθη. λάρναξ ξυλίνη.

Λαῖφος. ἄρμενον. καὶ ἱμάτιον.

Λαῖλαψ. σκότος μετὰ συστροφῆς ἀνέμου.

Λάκκος. διὰ τὸ λίαν κάτω.

Λάειρα. δάφνη.

Λαιψηρά. ταχέα.

Λακὶς. λάκισμα. σχίσμα ἱματίου.

Λακωνικὸς. στερρὸς. ἀνδρεῖος.

Λακέρυζα. κορώνη μεγάλα κράζουσα.

Λάκων. σπαρτιάτης ἄντικρυς τῶν ἀθηνῶν.

Λαμύρια. ἡ σαλία.

Λάμβδα. οἱονεὶ λαβάτιον παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις καὶ ἀθενὲς εἶναι πρὸς τὸ μὴ κύ=νειν τὴν συλλαβήν.

Λαλίστατος. ὁ καταλόγων σόφος. λέγεται δὲ καὶ ὁ εὔγλωττος καὶ εὔφωνος

Λαμυρόν. εὔλαλον. εὐτράπελον. καταπληκτικόν.

Λάξ. τῷ ἄκρῳ τοῦ ποδὸς πλήττειν τῷ λέγοντι μέρει. ὃ λέγεται λακτάια.

Λάτων. ποταμὸς ἐν ἀρκαδίᾳ.

Λάμια. θηρίον ἀπὸ τοῦ ἔχειν μέγα λοιμόν. λαιμία καὶ λάμια καὶ σιτοδόχος τόπος.

Λαμπετόωντι. λάμποντι.

Λάπαθον. τὸ λάχανον.

Λαπάρην. λαγόνα.

Λαπάρα. ὁ κενὸς ὀστέων τόπος τῆς πλευρᾶς. λαπάξαι γὰρ τὸ κενῶσαι. παρὰ τὸ λάπαθον τὴν βοτάνην κενωτικὴν οὖσαν γαστρός.

Λαίμαργος. φάγος. μανιώδης.

Λαξευτηρίῳ. ἐργαλίῳ οἰκοδομικῷ. ἐπειδὴ καὶ [illegible] ὁ οἰκοδόμος.

Λαπιστής. ψεύστης. προπετής.

Λάσκαις. λέγεις.

Λαρόν. προσηνές. ἡδύ.

Λάσιοι. δασεῖς. πολύτριχοι.

Λάσιον. κέαρ. ἰσχυρὰ. ψυχή.

Λάτρις. θεράπαινα. δούλη. προσαίτης.

Λατῖνοι. ῥωμαῖοι.

Λάτις. εἶδος ἰχθύος.

Λαύρην. ῥύμην. δι' ἧς λαὸς παρέρχεται ὁδὸν δημοσίαν.

Λάφυρα. τὰ ἐκ τῶν πολεμίων ἐπιζώντων λαμβανόμενα. τὰ δὲ τεθνεώτων αὐτῶν σκῦλα λέγονται.

Λάρναξ. κυρίως ἡ διὰ λάων ὅ ἐστι λίθων κατασκευ= ασθεῖσα θήκη. καταχρηστικῶς δὲ καὶ αἱ λοιπαί.

Λαρρυπιόνιων. ἁπλότης.

Λάρυγξ. φάρυγγος διαφέρει. λάρυγξ μὲν γάρ ἐστι δι' οὗ λαλοῦμεν. φάρυγξ δὲ δι' οὗ ἐσθιόμεν. ἐπειδὴ δύο πόροι εἰσὶ τοῦ λαιμοῦ.

Λαύρα. ἡ πλατεῖα.

Λαύρας. τὰς ὁδούς.

Λαφύξας. διασπαράξας. ἀφειδῶς θοινησάμενος. ἢ κα= ταπιών.

Λαπίηρ. λαμπάς.

Λαχαίνειν. σκάπτειν.

Λεαίνεται. ἐξαλείφεται.

Λαπάξαι. κενῶσαι.

Λάχνη. τρύχωσις. λέγεται δὲ καὶ ὁ τῆς θαλάσσης ἀ=
φρός.

Λάψαι. τῇ γλώττῃ πίειν

Λείβω. σπένδω.

Λειρόν. ἀνειδές.

Λείριον. τὸ ἄνθος. ἢ κρίνον.

Λεγεών. ἑξακοσίων ἀνδρῶν τάξις πεζῶν.

Λέβηται. τὸ χέρνιβον.

Λείχανος. ὁ δάκτυλος.

Λεγάτον. πεκούλιον.

Λεῖχνον. σημαίνει τὸ πτυάριον.

Λειτουργεία. δουλεία. θεραπεία.

Λεγός. ὄλεθρος.

Λεαίνω. λεπτύνω. ἐκτρίβω. ἀναλείφω.

Λεβηδών. τόπος ἐν ᾧ ἐθυσίαζον. οἱ κατὰ τὴν Λιβανη=
σίαν ἀραβῖται.

Λειβών. ὁ παράδεισος.

Λειτουργός. ὁ τοῖς διοικηταῖς λειτουργῶν. ἤγουν ὑπουρ=
γῶν καὶ διακονῶν. τὸ γὰρ πρυτανεῖον ἤγουν δημόσιον
λήϊτον ἐκαλεῖτο.

Λεηλασία. αἰχμαλωσία. πραῖδα.

Λεηλατεῖ. λῃστεύει. ἁρπάζει.

Λέξατε. εἴπατε.
Λεβηρὶς. τὸ ἔκδυμα τοῦ ὄφεως ὃ ἀποδύεται.
Λέκιθος. τὸ λέπυρον τοῦ ᾠοῦ τὸ χρυσίζον τουτέστι ὁ κρόκος.
Λέληςαι. ἐπελάθετο.
Λείχω. τὸ καπαθίω
Λέγοντο. συνήγοντο.
Λεύειν. λιθοβολεῖν.
Λέων. ὅτι τὸ πᾶν λύει καὶ συντρίβει. σημαίνει δὲ β. τὸ θηρίον καὶ τὸ ζώδιον.
Λελοβυμένος. κελιφὸς. μωρὸς.
Λεωπρίαι. λίαι πέτραι. ἤγουν ὁμαλοί.
Λεαίνω. τὸ ἀποσπογγίζω καὶ ἐκμάσσω.
Λέμβος. πλοῖον μικρόν.
Λεκτίκιον. βάσερνα. κράββατον.
Λεῖα. πραῖδα. λέγεται δὲ καὶ πάνυ καὶ πολύ. ἀλλ᾽ ἐκεῖνα δια διὰ τοῦ ι. γρ.
Λειμῶνες. ἀνθηροὶ τόποι. παράδεισοι.
Λείβω. σπένδω.
Λειτουργική. κυρίως μὲν ἡ ἱερατική. καταχρηστικῶς δὲ καὶ ἡ δουλικὴ καὶ ὑπηρετική.
Λειποταξίης. ὁ φυγάς.

Λέκτρας. κοίτας. κραββάτια.

Λελογχώς. λαγχάνων. ἢ ἐπιτυχών.

Λεκτόν. ἀκρωτήριον. καὶ τὸ ἐκλεκτόν.

Λεκτοῖσι. κοίτοις.

Λειτός. ἀποίκιλτος πέπλος.

Λέκτον. κραββάτιον.

Λειώδης. τὸ ὕδωρ καὶ αἱ λειχῆνες.

Λελιπαρημένον. παρακεκλημένον. ἐκτετυμένον ἢ πλούσιον.

Λέντιον. σάβανον.

Λελώβηται. βέβλαπται.

Λέξας. εἰπών.

Λεληθότως. λανθανόντως. κρυφαίως.

Λελέξεται. λεχθήσεται.

Λεοντιδέων. φοβερός. ἰσχυρὸς κατὰ τὸν λέοντα.

Λέπυρον. λέπισμα.

Λεπτόμιτον. φάρος. λεπτὸν ἱμάτιον.

Λέσβος. νῆσος

Λέσχαι. φλυαρίαι. λολυλογίαι.

Λέχος. συνουσία. μίξις ἢ κοίτη.

Λέχων. τυγερῶν. γάμων συγνεῶν. μισητῶν.

Λεώς. λαὸς ἀττικῶς.

Λελειμμένοι. ἐγκαταλελειμμένοι.

Λεωφόρος. ὁδὸς πλατεία τὸν λαὸν φέρουσα.

Λόπος. τὸ λέπισμα

Λεοπρία. λία πέτρα τουτέστι ὁμαλή

Λεύσσεται. ὄψεται. βλέψει.

Λήγει. παύει.

Λήϊον. σιτοφόρον πεδίον γῆ σπόριμος.

Λεληκώς. κράζων.

Λέμφος. ὁ μυξώδης. καὶ ἀνόητος. καὶ ἡ μυξώδης σάρξ.

Λευγαλέος. ὁ σχέτλιος.

Λευγαλέος. ὁ πανοῦργος καὶ φαῦλος.

Λευγαλέον. ὀλέθριον. χαλεπόν. ἢ ὑγρόν.

Λευγαλέῳ. χαλεπῷ. ὀλέθρῳ.

Λευρόν. ὁμαλόν. λελιθολογημένον. λεύειν γὰρ τὸ λιθάζειν.

Λεύσσω. βλέπω.

Ληϊάδες. αἰχμάλωτοι.

Ληΐζεται. αἰχμαλωτίζεται.

Λευχείμων. λευκὰ ἱμάτια ἔχων. εἷμα γὰρ τὸ ἱμάτιον ἱμὰς δὲ ὁ λῶρος.

Λημή. λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συναγόμενον καὶ ἀμβλυωπεῖν ποιοῦντα.

Λητώ. ἡ νύξ.

Ληνός. ὁ σταυρός

Ληνός. ὁ τῆς σταφυλῆς.

Λῆμμα. κέρδος. φρόνημα. ἐπὶ τοῦ λαβεῖν.
Λήμματα. προφητεῖαι. λέγονται δὲ καὶ τὰ ἐξ οἰκείας καρδίας φθεγγόμενα.
Λῆξιν. κλῆρον. μερισμόν.
Λήξω. παύσω.
Λήβω. τὸ λαμβάνω.
Λήφθην. συλλήφθην.
Ληΐδα. πραῖδα.
Λῆξις. τελείωσις. πλήρωσις.
Λῆρος. φλύαρος. ματαιόφημος.
Λήσεται. λάθη.
Λήθω. λανθάνω.
Λήσομαι. ἐπιλησθήσομαι.
Ληΐσατο. ἐξ ἁρπαγῆς ἐκτήσατο.
Λιβρός. ὁ σκοτεινός.
Λιβύη. χώρα.
Λιγνυῶδης. τὸ καπνῶδες.
Λιβάδα. σαγόνα. κρήνην.
Λίβανος. τὸ ὄρος καὶ δένδρον οὕτω λεγόμενον. λιβανωτὸς δὲ ὁ καρπὸς τοῦ λιβάνου. ἤγουν τὸ θυμιώμενον μόνον.
Λιγνός. λεπτός.
Λιγαίνων. ὑμνῶν.
Λιαθείς. χωρισθείς.
Λιγυφώνως. ἡδυφώνως.

Λιγὺς. καλὸς. ὀξὺς. γλυκὺς.
Λιγυρῶς. ἡδέως. ὀξέως.
Λιγυρὸν. θρηνητικὸν. ὀξύφωνον. ἡδύτατον.
Λιθόλευστος. λιθοβόλητος.
Λεύσιμος. ὁ λιθοβολεῖσθαι ἄξιος.
Λικμῶ. διασκορπίζω.
Λήθαργος. ὁ λήθης ἄλγων ἔχων.
Λιβάδες. τόποι ἔνυδροι.
Λῖνος. ὕμνος. καὶ τὸ δίκτυον.
Λογεῖον. τὸ μάντευμα.
Λίμνη. ἡ συναγωγὴ τῶν ὑδάτων.
Λιαρὸν. ἡδὺ. προσηνὲς.
Λιμετανέων. τὰ ἐν ταῖς ἐσχατιαῖς φρούρια. λίμητα ῥωμαῖοι καλοῦσι. τουτέστι τὰς κλεισούρας.
Λίκυθον. ἀγγεῖον ἐληροῦν.
Λίαν. πάνυ.
Λίνος. τὸ ἔριον.
Λίνος. τὸ λινάριον. λῖνος δὲ ὁ ὕμνος.
Λιπερνῆτες. ἀριστοτέλης τοὺς ἁλιεῖς φησιν.
Λιμὸς. ἔνδεια τῶν ἀναγκαίων.
Λιχνοι. οἱ πολυπράγμονες.
Λιαρὸς. χλιαρὸς.
Λιγεῖαι. ἡδεῖαι. γλυκεῖαι.
Λιγυρὰ. ἡδέα.

Λιτή. παράκλησις.

Λιποτακτεῖ. τὴν τάξιν καταλιμπάνει. κυρίως δὲ ἐπὶ στρατιωτῶν φυγοπολέμων.

Λίος. ὁμαλός.

Λιπαρῶ. παρακαλῶ.

Λίχρος. φειδωλός.

Λίτομαι. παρακαλῶ.

Λιταῖς. παρακλήσεσι.

Λιτοῖς. ψιλοῖς. εὐτελέσι. πένησι.

Λιτός. ὁ πένης.

Λίχνος. ἁπτόμενος τῶν ὄψων κατ᾽ ἐπιθυμίαν.

Λιμβός. λαίμαργος.

Λογγόβαρβος. ὁ μακρὸν ἔχων γένειον.

Λοιγος. ὁ ὄλεθρος.

Λογιαὶ. ἐκλογαὶ καρποφορίαι.

Λογιεῖται. διαλογισθήσεται. ἐνθυμηθήσεται.

Λοιβή. θυσία.

Λογάδες. ἐκλεκτοί. πρῶτοι.

Λόγιος. ὁ εὐπρεπής. καὶ λόγιος ὁ δεινὸς εἰς τὸ λέγειν καὶ ὁμιλεῖν.

Λογοποιῶν. πλάττων λόγους. ψευδής.

Λοξιώεις. λοξὴν τὴν ἰωὴν ἔχων. ἤγουν τὴν φωνήν.

Λοχεία. ὁ τόκος. λοχία δὲ ἡ ἔνεδρα.

Λεβος. τὸ ἄκρον τοῦ ὠτίου.
Λόχος. ἡ ἐνέδρα.
Λοῖσθος. ἔσχατος. τελευταῖος.
Λοιμὸς. βλάβη. φθορὰ. κοινὴ νόσος.
Λογιστεύων. λόγοις διδάσκων.
Λοξὸς. πλάγιος. σκολιὸς.
Λοχῶ. ἐνεδρεύω.
Λόφος. ὑψηλὸς τόπος. γῆς ἀνάστημα. σημαίνει καὶ τὸν τράχηλον.
Λοχῶντες. ἐνεδρεύοντες. ἐγκρυπτόμενοι.
Λόπος. ἱμάτιον.
Λόγχμη. θάμνος. ὕλη. σύνδενδρος τόπος.
Λοπάσιν. κλέπταις.
Λογικὴν τερθρίαν. ῥητορικὴν φλυαρίαν
Λοχᾷ. θηρεύει. λεληθότως ἐνεδρεύει.
Λοιμέων. φθορὰ. ὄλεθρος.
Λουτρὸν. βαλανεῖον. καὶ λυετρόν.
Λυγίζειν. ὀρχεῖσθαι.
Λυγρὸν. χαλεπὸν. ἰσχυρὸν. κακόν.
Λυδίαι. αἱ χῶραι.
Λυγίσμασι. συγκλάσμασι. περικάμψεσι.
Λοχάγος. ἡγούμενος.

Λύθρῳ. φόνῳ. ἢ τῷ ἐκ μάχης μολύσματι διϊδρῶτος καὶ αἵματος μεθ' ὕδατος καὶ κόνεως.

Λυκάβας. ὁ ἐνιαυτὸς.

Λυθρον. αἵματα ἰχῶρας ἀπὸ φόνου.

Λύθρος. ἡ ἀκαθαρσία. κυρίως δὲ τὸ κατὰ κόνεως αἷμα.

Λυμεὼν. ὀλέθριος.

Λύμη. βλάβη. φθορὰ.

Λύματα. καθάρματα αἱ τῆς γαστρὸς εἰς ἀφαιδρῶνας χρίσεις.

Λυμαίνεται φθείρει. ἀπόλλει.

Λύκος. διὰ τὸ λίαν κακὸς. ἢ λύειν κακῶς τὴν ποίμνην. ἢ φάγειν πολλά.

Λύπη. ἐστι πάθος ψυχῆς μηδενὸς τῶν ἀλόγων ζώων καθαπτόμενος.

Λυπραν. λυπηραν. μοχθηραν. πικραν.

Λυγὸς. τὸ σκότος.

Λυπρῶς. λυπηρῶς.

Λυγρῶς. ἐλεεινῶς. ἀθλίως.

Λυρῳδὸς. ψαλμῳδὸς. κιθαρῳδὸς.

Λυρόεσσαν. γλυκυτάτην.

Λυσσῶδες. μανικὸν.

Λυσιτελὲς. σύμφερον. ὠφέλιμον.
Λύτρωνα. ἀφαισρόνα.
Λύσσαν. μῆνιν. μανίαν. ὀργὴν. Χόλον.
Λύτρα. μισθὸς. ἢ τὰ παρεχόμενα ὑπὲρ ἐλευθερίας. ἐπὶ τῷ λυτρώσασθαι. ἢ βαρβάρων. ἢ ἑτέρας κακῆς δουλείας.
Λώβη. βλάβη. κεφαλία.
Λώϊστος. βέλτιστος.
Λῶμα. τὸ κράσπεδον.
Λῶμα. λῶον τὸ εἰς τὸ κατώτερον μέρος τοῦ ἱματίου ἐπίβλημα ἐκ βύσσου ἢ πορφύρας καὶ κοκκίνου.
Λώβη. ἡ τμῆσις τῶν λόβων τῶν ὤτων. καὶ ἡ βλάβη.
Λωποδύτης. ἱματιοκλέπτης. λῶπος γὰρ τὸ ἱμάτιον
Λωποδυτεῖν. κλέπτειν. λῃστεύειν.
Λωβὸς. ὁ κεφαλὸς.
Λωτὸς. βοτάνη εὔοσμος ἣν ἔνιοι μυρόλωτον καλοῦσιν.
Λωφήσαντες. ἀναπαυσαμένου. ἡσυχάσαντος.
Λωφήσας. παυσάμενος.
Λωτίζοντα. ἀνθοῦντα.

# Ἀρχὴ τοῦ Μ.

Μαγὰς. σανὶς τετράγωνος ὑπόκρυφος. δεχομένη ἐφ' ἑαυτῆς τὰς νευρὰς καὶ ἀποτελοῦσα τὸν φθόγγον.

Μαγισόρες. ἐπισάτας διδασκάλους.

Μάγγανον. παράδοξόν τι. λέγεται δὲ καὶ ἡ γοητεία μαγγανεία.

Μαγεία. ἡ κατασκευὴ τῶν ὁμοιωμάτων. καὶ ἡ ἄρτυσις τῶν ἑψημάτων.

Μαγὶς. ἡ τράπεζα.

Μακελλάριος. ὁ σφάζων τὰ ζῶα. μάκελ γὰρ καὶ μακέλλης ῥωμαϊσί ἐσιν ὁ σφαγεύς.

Μαίρα. ὑπό τινῶν ὁ ἥλιος.

Μακκαβαῖος. κατὰ πέρσας κάρανος. τουτέσι δεσπότης. τῇ δὲ σύρῳ διαλέκτῳ ἀνδρεῖος πολεμισὴς δυναπώσαντος.

Μακρόθυμος. παρὰ τὸ μακρὰν ἔχειν τὸν θυμόν.

Μάγοι. ἔθνος. οἱ ἐλαφρῶς ἐπάδοντες τοὺς ἀλγοῦντας τόπους τῶν πασχόντων ἰῶν τὸ ἡδὺ προσπνέοντες.

Μαγγανεία. ἡ σρεβλίτης.

Μαγὶς. τὸ σκουτάριον.

Μαν. ὅ ἐσι πάνυ ζητεῖν.

Μαθητιώσας. μαθεῖν θελούσας.

Μαθὼν παρὰ του. διδαχθεὶς παρά τινος.

Μαιμάσσει. σφύζει. προθυμεῖται. κυματοῦται. πηδᾷ. χαχλάζει.

Μαιωθήσονται. γεννηθήσονται. θεραπευθήσονται.

Μαῖα. ἰατρίνη. ταις εν τῳ τικτειν κινδυναιουσας γυναιξὶ βοηθοῦσα.

Μάκελλαν. τὴν δικέλλαν.

Μαινάδας. πόρνας. μαινομένας ζητούσας βακχεύειν παρὰ φόρους.

Μακρηγορίας. μακρὰς διαλέξεις. ἢ ὑπαγορίας.

Μακραίων. ἀπλευτητος αἰών.

Μακάρων. μακάρων θεῶν ἁγίων.

Μακάριος. ὁ μὴ κηρὶ τουτέσι φθορᾷ ὑποκείμενος.

Μανδήλιον. μανειήλιον καὶ μανδήλιον τὸ σπογγίζον.

Μάκτρα. ἐν ᾗ ἔμασσον. ἣν οἱ ἀττικοὶ κάρδοπον ἐκάλουν.

Μάραθρον. ρωμαῖοι λέγουσιν αὐτὸ φαινόκλουμ. παρότι φαίνον ποιεῖ τὸν ὄκλον ἤγουν τὸν ὀφθαλμόν. ἕλληνες δὲ διὰ τὸ μαραίνειν καὶ ξηρᾶν ποιεῖν τὴν σάρκα ἤτοι ψωριᾶν ἐσθιόμενον πολύ.

Μάλαθρον. ὅτι μάλα θρασεῖ ἤγουν ὠφελεῖ τὴν ὅρασιν.

Μαλακόν. ἁπαλόν.

Μάλισα. μάλα. πάνυ. λίαν.

Μαλερόν. τὸ καυστικὸν καὶ μαραντικὸν πῦρ.

Μαρώνειος. οἶνος.
Μάλα εἶπε. λίαν εἶπε.
Μάλα σαφῶς. πάνυ φανερῶς
Μακαρὶς. μακαρία.
Μαλθακὸς. τρυφερὸς. εὐμάλακτος. ἐκλελυμένος.
Μαλεία. ὄνομα ὄρους.
Μαλακία. νόσος.
Μαλαχὸς. ἀσελγής.
Μαλακὸς. ἀναπεπλοχῶς. νοσηρὸς. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀσελγοῦς
Μᾶλλον, λίαν. πάνυ. πλέον.
Μαυροῦσιν. ἐλαμποῦσι.
Μαλάχη. μολόχη.
Μαμιλάρια. ψαλίδια.
Μανώτατα. ἀραιώτατα.
Μανὸν. ἀραιόν.
Μαμωνᾶς. τὸ κέρδος. χρυσὸς. πλοῦτος.
Μάκελλα. σκάφιον. δίκελλα.
Μαίμων. ὁ ἀδελφός.
Μαιευομένη. γεννομένη.
Μανδύας. ἱμάτιον. τὸ λωρίκιον.
Μανείην. χολωθείην.

Μάρψαι. ταῖς χερσὶ συλλαβεῖν.
Μαρμαρυγάς. λαμπηδόνας.
Μαργαίνει. μαίνεται.
Μανδραγόρας. εἶδος βοτάνης φοινικοῦ.
Μαστρωποὶ. μαυλισταὶ. πορνοβόσκοι.
Μαργῶσαν. μαινομένην.
Μάρναται. μάχεται. ἐν πολέμῳ
Μαρμαίρει. λάμπει. καταυγάζει.
Μάρσιππος. σάκκος. θυλάκιον. βαλλάντιον.
Μαρίλη. τὸ λεπτὸν τῶν ἀνθράκων.
Μάργος. μαινόμενος.
Μαρτζκαυλος. πτωχὸς καυλός.
Μαραθώνειος. ἐνταφιασμός.
Μαυσώλειος. τάφος.
Ματζουμάνος. ἰχνόχειρ. μάνου γὰρ ἡ χεὶρ καὶ ματζου τὸ ἰχνόν.
Μάτρικες. ἀπογραφαὶ. ἢ ἀντιγραφαὶ.
Μάστιξ. παρὰ τὸ ἱμάσσω. σημαίνει δὲ τὸ πλήττω. τοῦτο παρὰ τὸ ἱμὰς ὃ σημαίνει τὸν λῶρον.
Μαστιγίας. ὁ δι᾽ ἁμαρτίας μαστιζόμενος.
Μαστεύων. ζητῶν.
Μάσσει. φυρᾷ. ζυμοῖ.
Ματρυλλεῖον. τόπος πορνῶν.

Μαχλάς. πόρνη.
Μαχλῶντες. πορνεύοντες ἀκολάστως.
Μὰψ. ἐπίρρημα μεσότητος. ἀντὶ τοῦ ματαίως.
Μαψίδιον. μάταιον.
Μεγαλουργίας. μεγάλης ἐργασίας
Μέλαθρον. ἡ ὀροφή. μέγαρον δὲ ὑπερῶον οἴκημα.
Μεγαλόφρων. μεγαλόψυχος.
Μεγαλόνοια. ὑπερηφάνεια. μεγαλοφυΐα.
Μάχεσθαι. πολεμεῖν.
Μᾶσσον. τὸ μέγα καὶ μικρόν.
Μέγηρεν. ἐφθόνησε.
Μέδοντες. βασιλεῖς.
Μεδέοντα. βασιλεύοντα.
Μεδήσω. τὸ φροντίσω.
Μεγαλώνυμον. μεγαλόδοξον. περίφημον. ὀνομαστόν.
Μεθεὶς. ἐάσας
Μέθες. ἄφες.
Μεθέντες. ἐάσαντες.
Μεθορμίζεται. μετάγεται. μεταβάλλεται.
Μεθοῦ πολυ. μετ᾽ ὀλίγον.
Μεθοδίας. τέχνας.
Μέθεξιν. μετοχήν. μετουσίαν. κοινωνίαν.

Μεῖναι. ὑποδέξασθαι.
Μεθοδεύουσα. μεταφέρουσα.
Μεθόπωρον. ὁ μετὰ τὴν ὀπώραν καιρός.
Μεθοδεύει. μετέρχεται. τεχνάζεται.
Μεθίσαται. μεταίρει.
Μεθήμων. ὁ ἀμελής. μεθίω τὸ ἀμελῶ.
Μεθίεται. συγχωρεῖται.
Μεῖον. μικρόν. ἔλαττον.
Μείρακες. παιδία. νεώτεροι.
Μείρεσθαι. μερίσαι.
Μειονεκτεῖ. τὸ μικρότερον φέρει.
Μειδίασμα. γέλως.
Μειδιᾷ. γελᾷ.
Μείλιχος. πρᾶος.
Μεγαλοψυχία. ἐστιν ἀρετὴ ψυχῆς. καθ᾽ ἣν δύναται φέρον τὴν εὐτυχίαν καὶ τὴν ἀτυχίαν. τιμὴν καὶ ἀτιμίαν. Μικροψυχία ἐστι κακία ψυχῆς καθ᾽ ἣν ἀδύνατόν ἐστι φέρον εὐτυχίαν. τιμὴν καὶ ἀτιμίαν.
Μεγαλόψυχος. ἐστιν ὁ πάντα εὐπετῶς φέρων. μικρόψυχος δὲ ὁ μηδὲ τὰ μικρά.
Μειλισσόμενος. παρακαλῶν. πραΰνων.
Μειονεκτούμενον. ἐλαττούμενον.
Μειλίξαι. καταπραῦναι.
Μελεϊστί. κατὰ μέλος.

Μελίχια. προσηνῆ. πραέα.
Μήρινθος. ἐκ σπαρτίου σχοινίον.
Μελεδῶναι. φροντισαί. προεστηκότες. ἐπίτροποι.
Μελέα. τὰ ἄθλια. καὶ μάταια.
Μέλεος. ἄθλιος. μάταιος. ταλαίπωρος. δυστυχής.
Μέλλει. βραδύνει.
Μελληταί. ὑπερθετικοί. βραδεῖς.
Μέλλησις. βραδύτης. ὑπέρθεσις. ὀκνηρία.
Μέλλει. προσδοκᾷ.
Μέλλειν. ἐλπίζειν.
Μέλλω. τὸ βραδύνω. καὶ μέλω τὸ φροντίζω. ὃ καὶ δι' ἑνὸς λ. γράφεται.
Μέλπηθρα. παίγνια.
Μεμαῶτα. ~~[illegible]~~ προθυμούμενον.
Μεμυαλωμένα. παρὰ τὸ μυαλῶ. τοῦτο παρὰ τὸ μύω τὸ σφαλίζω γίνεται μυελὸς ὁ ἐσφαλισμένος ὑπὸ τοῦ ὀστέου. λέγεται δὲ καὶ μυαλός. καὶ ἐκ τούτου μυαλῶ μυαλώσω. καὶ τὰ λοιπὰ δηλωτικά.
Μελδόμενος. τηκόμενος.
Μεμυημένων. τετελεσμένων.
Μέλας. σκοτεινός.
Μελιοῦσιν. μελίσσουσιν. ἀποκόψουσι.
Μελῳδία. ἡδυφωνία

Μελέων. ὕμνων.
Μέλπων. ᾄδων. ὑμνῶν.
Μελετᾷ. ἀσκεῖ. γυμνάζει.
Μελλήσω. σπουδάσω.
Μεμψίμοιρος. φιλεγκλήμων. μεμφόμενος.
Μιμμαθαρνηκεὺς. ὁ μισθῷ κάμνων. ἢ διὰ μισθὸν ψευδοποιῶν.
Μεμύημαι. πεπείρασμαι. τετέλεσμαι.
Μεμυκέναι. κρύψαι. κολλῆσαι. ἢ καμμύσαι.
Μὲν οὖν γε. τρεῖς εἰσὶ σύνδεσμοι. σημαίνει δὲ βεβαιότητα καὶ ἀλήθειαν.
Μενοῦνγε. ναὶ ἀληθές.
Μενοῦν. διὰ τοῦτο τοιγαροῦν.
Μέροψ. ὁ ἄνθρωπος.
Μέρμις, θος. τὸ σχοινίον.
Μερμέριζε. φρόντιζε.
Μεταίχμιον. ὁ μεταξὺ δύο φαλαγγῶν τῶν πολεμούντων τόπος.
Μεμυκότα. καμμύσαντα. σιωπήσαντα.
Μεμωκημένον. κατηγορημένον. διαβεβλημένον. καταπεφρονημένον.
Μεσημβρία. παρὰ τὸ μέσος καὶ τὸ ἡμέρα μεσημβρία. καὶ ἐν συγκοπῇ μεσημβρία πλεονασμῷ τοῦ β.
Μένος. ἡ δύναμις.

Μέτελθε. ἄπελθε.
Μεμυχῶσι. κεχραγῶσι.
Μεσοπολιὸς. ἡμιγέρων. μεσῆλιξ.
Μεμεληημένος. πεπονημένος
Μεσον. πλῆρες.
Μεμνῆσθω. μνημόνευσον. μιμνήσκου.
Μερμέρα. μερίμνης ἄξια. χαλεπά.
Μέροπες. διὰ τὸ μεμερισμεν ἔχειν ὄπα ἀντὶ τοῦ τὴν φωνήν.
Μεσαίχμιον. τόπος μεταξὺ δύο πολεμίων. αἰχμὴ γὰρ ἡ λόγχη.
Μεσέγγυος. μεσίτης. ἐγγυητὴς μέσον δύο μερῶν.
Μεσοπορῶν. μέσην ὁδεύων
Μετέωρος. κοῦφος. ἐλαφρὸς. ὑψηλὸς.
Μετοίχεσθαι. μετελθεῖν. μεταβαίνειν.
Μέτοικος. ξένος.
Μετανάσαι. μέτοικοι. φυγάδες.
Μεταμαθεῖν. μεταγνῶναι
Μετεωρολέσχαι. φλυαροῦντες τὰ μετέωρα. ὑπὲρ ἑαυτοὺς τὰ οὐράνια.
Μεταλλεῶ. ἐπιζητῶ. καὶ τὸ πολυπραγμονεῶ.
Μέταλλον. ὃ σημαίνει τὸν τόπον ἐνῷ ὁ χρυσὸς πήγνυται. ἡ χρυσῖτις γῆ.
Μεταλλεια. ἡ χρυσοῦ ἔρευνα.

Μέταλλον. ἀπὸ τοῦ ζητεῖν ἐν αὐτῷ τι.
Μέταλλα. χόανα.
Μεταμέλεια. σχῆμα παρασύνθετον ἐκ τοῦ μεταμελοῦμαι. καὶ μετανοῶ. καὶ μεταγινώσκω.
Μεταλλήχοντες. μεταλαχόντες.
Μεταμφιέννυσθαι. μετενδύεσθαι ἐσθῆτα.
Μετοχετεύσας. μεταβαλών. μεταγαγών.
Μετεστείλατο. μετεπέμψατο. μετεκαλέσατο.
Μέτριος. ἐπιεικής. ταπεινός.
Μετέπειτα. μετὰ ταῦτα.
Μετάφρενον. μεταξὺ τῶν δύο ὤμων.
Μεταχρωννῦντες. μετασχηματίζοντες.
Μεταλαγχάνει. μετέχει.
Μετάρσιος. μετέωρος. ὑψηλός. κοῦφος.
Μετεωροπολεῖ. τὰ οὐράνια σκοπεῖ.
Μεταλλάξαντι. μεταχωρήσαντι. μετελθόντι.
Μετέσχεν. ἐκοινώνησε. μετέλαβε.
Μετριάζει. μέτρια φρονεῖ.
Μεταπεσεῖν. τὸ ἀπὸ δόξης εἰς ἀτιμίαν ἐλθεῖν.
Μέτοχοι. κοινωνοί.
Μεταβαλών. μεταστραφείς.
Μεταλλεύει. μεταφέρει.
Μετάβολοι. πραγματευταί. μεταπράται.

Μεταξὺ. ἐν τῷ μέσῳ.

Μετασχηματίσει. μεταλλάξει. μεταμορφώσει.

Μετανασεύου. μετοίκει. ἀναχώρει.

Μετριοπαθεῖν. συγγινώσκειν.

Μετ' ἐμφάσεως. μετὰ φανερώσεως.

Μέχρι τῆς δεῦρο. ἕως σήμερον.

Μέχρι, τοῦ δεῦρο. ἕως ὧδε. ἕως νῦν.

Μεταβαλεῖν. καὶ μεταμορφοῦσθαι. καὶ ἀλλιοῦσθαι. καὶ ἑτεριοῦσθαι διαφέρει. μεταβάλλεσθαι μὲν γάρ ἐστι πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται μεταβολαί. καὶ πράξεων. καὶ ἀφροδισίων. μεταμορφοῦσθαι δὲ μεταχαρακτηρισμὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα. ἀλλοίωσις δὲ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα. ἑτεροίωσις δὲ ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλλετο. οἷον νιόβη εἰς λίθον.

Μὴ ἀπαναίνου. μὴ παραιτοῦ. μὴ ἀποστρέφου.

Μὴ ἀποσκορακίσῃς με. μὴ ἀποδιώξῃς με.

Μή' δ' ἕτερον. μὴ δὲ ἕν.

Μηδαμινός. εὐτελής. ἄτιμος.

Μηδεῖσθαι. μὴ χρήζειν.

Μὴ ἐφικνούμενοι. μὴ καταλαμβανόμενοι.

Μήδεα. τὰ ὀρχίδια.

Μήδεα. βουλεύματα. καὶ τὰ αἰδοῖα.

Μῆλον. ἡ ὀπώρα.

Μήλιον. τὸ δῶρον ὅθεν καὶ κειμήλιον.

Μῆλα. πρόβατα.

Μῆλον διὰ τὸ μασμὸν ἕλειν ἐκ τῆς ἰδίας ὀσμῆς.

Μήκυνον. αὔξανον. μάκρυνον.

Μὴ κοίνου. μὴ ἀφάνιζε. μὴ μίαινε. μὴ ἀκάθαρτον νόμιζε

Μηλωτή. δέρμα προβάτου.

Μηλοσφαγίαις. θυσίαις προβάτων.

Μηνιῶν. ὀργιζόμενος.

Μηλαβοτέαν. γῆν εὐτραφῆ προβάτοις εἰς νόμην.

Μηλοβοτὴρ. ὁ τῶν προβάτων ποιμὴν.

Μηλονόμος. ὁ τὰ πρόβατα νέμων. ὅθεν καὶ τὰ δέρματα μηλωτάρια.

Μῆνις. Χόλος. κότος. ὀργὴ ἐπίμονος.

Μήνιγγες. διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον

Μήνιγξ. ὁ μυελὸς τῆς κεφαλῆς.

Μηνίσκος. ὁ περιτραχήλιος κόσμος. ὁ μανιάκης. παρὰ τὸ κυκλοειδῆ εἶναι καὶ περιτίθεσθαι. ἡ μεταφορὰ ἀπὸ τῆς μήνης. ἤγουν τῆς σελήνης. κυκλοειδὴς γάρ ἐστιν.

Μηνη. ἡ σελήνη. ἀπὸ τοῦ μὴ μένειν ἐν ταυτῷ. ἀλλὰ ποτὲ μὲν μειοῦσθαι. ποτὲ δὲ αὐξάνειν.

Μὴ νοσφίζου. μὴ κλέπτε.

Μηναγύρτης. ἀπὸ μηνὸς συνάγων.
Μὴ παραρυῆς. μὴ ἐκπίσῃς.
Μήρυμα. νῆμα. κάταγμα.
Μὴ παραζήλου. μὴ δμοιωθεὶς.
Μηρουμένη. ἐκτεινομένη.
Μηρίνθιον. σπάρτος.
Μὴ τέκταινε. μὴ ἀποσκεύαζε
Μητροπάτωρ. ὁ τῆς μητρὸς πατήρ. πάππος.
Μήτιγε. πόσῳ γε. μᾶλλον.
Μὴ κεύθου. μὴ κρύπτου.
Μηχανᾶται. πλάζεται. βουλεύεται. ἐπινοεῖ.
Μιαιφόνος. φονεὺς.
Μιάστωρ. μυσαρὸς.
Μηρίνθιον. μιτάριον.
Μητρολώας. ὁ τὴν μητέρα φθείρων.
Μιγὰς. τὸ κοινόβιον. τὸ μοναστήριον. καὶ μιγάδες οἱ ἐν κοινοβίοις ζῶντες. ἤτοι τὸ ἐκ πολλῶν ἀδιορίστως ἄθροισμα. ἐκ τοῦ μίγω.
Μίθρης. ἥλιος.
Μικρολόγος. σκνιφὸς. φειδωλὸς.
Μισθαρνία. ἐπὶ μισθῷ γενομένη ἐργασία
Μικροῦ δέω. παρὰ μικρὸν λείπω.
Μίνθη. ἣν τινες ἡδύοσμον καλοῦσι. ἔστι δὲ καλάμινθα. ἄγριον ἡδύοσμον.

Μίνουσι. μένουσι.
Μίτρα. ὅπλον. καὶ τὸ γυναικεῖον ἀνάδεμα.
Μίτρα. διάδημα. ζώνη ἐπιθοῦ φησι τὴν μίτραν ἐπὶ τὴν κεφαλήν σου τῆς δόξης τοῦ αἰωνίου.
Μήτρα. ἡ γαστὴρ διὰ τοῦ η.
Μίνθαν. εἶδος βοτάνης.
Μίμος. ὁ μιμούμενος καὶ ὅμοιος.
Μικρὸν. ὕστερον. παρὰ μικρὸν.
Μιμνήσκεσθε. μνημονεύετε.
Μιμηλὸν. ὅμοιον. ἐξομοιοῦντα. παρὰ τὸ μιμεῖσθαι.
Μινύρεται. κλαίει. θρηνεῖ. ἀφρόνως λέγει.
Μιν. αὐτὸν.
Μνήματα. οἱ τάφοι.
Μνεία. ἐπὶ τῶν ἀναθημάτων.
Μογήσας. κοπάσας. κακοπαθήσας.
Μολεῖ. ἔρχεται.
Μολοῦσα. πορευθεῖσα.
Μολοβρὸς. ὁ ἀλήτης. ὁ ἐπαίτης καὶ ὁ γαστρίμαργος.
Μομφὴν. μέμψιν. κατάγνωσιν.
Μονιμώτερον. βεβαιότερον. παρὰ τὸ μένειν ἐπιμόνως καὶ μονίμως.
Μοῖρα. τύχη. γένεσις.
Μονότροπος. μονοστραφεὶς. ἢ ἕνα τρόπον ἔχων.
Μονονουχὶ. σχεδὸν ἐγγὺς. ἔστι δὲ ἐπίρρημα συγκριτικὸν καὶ τοπικὸν.

Μόνον. ἐπίῤῥημα εἰκασμοῦ ὡς ἐπὶ τοῦ μόνον ἐπάρει.
Μολχὸς. παρὰ τὸ ὀχλεῖν καὶ ὀχλίζειν τὸ μετὰ βίας κι-
νεῖν. σημαίνει παρ' ὁμήρῳ καὶ ἄλλοις τῶν παλαιῶν.
καὶ τῷ ὀχλεῷ ῥήματι τὸ μα προσῆλθεν ἐπίτασιν
νῦν δηλοῦν. μάοχλον καὶ μοχλὸς. φιλόξενος δέ φη-
σι. ὅτι οὐ κατὰ τὴν νῦν χρῆσιν εἴρηται ὁ μοχλὸς παρ'
ὁμήρῳ ἀλλ' ἐπιβλὴς καὶ ὀχλεὺς εἴρηται παρ' αὐτῷ.
μοχλὸν γὰρ τὸν συνέχοντα τὰς θύρας οὐ λέγει.
ἀλλὰ μοχλὸν λέγει ἡνίκα ἂν δέῃ μοχλεῦσαί τι
ἢ σαλεῦσαι. οὕτως οἶδε τὴν ἐτυμολογίαν ὁ ποι-
ητὴς τοῦ ὀνόματος ὅτι παρὰ τὸ ὀχλῶ καὶ κινῶ
τὸ μοχλεύω.
Μοναχὸς. παρὰ τὸ μόνῳ θεῷ προσεύχεσθαι. ἢ μόνον ἔ-
χων τῶν πάντων αἴτιον. ἤτοι καλόν.
Μόρος. ὁ θάνατος. μωρὸς δὲ ὁ ἄτακτος.
Μορμολυκία. ἡ ἐκφόβησις. μορμολύκειον τὸ ἐκφοβοῦν.
Μορφή. ἰδέα. μορφὴ καὶ σχῆμα διαφέρει. μορφὴ λέγεται
ἐπὶ τῶν ἐμψύχων. σχῆμα δὲ ἐπὶ τῶν ἀψύχων. καὶ
σχῆμα μέν ἐστιν ἡ παντὸς ὄγκου ἀποτύπωσις.
μορφὴ δὲ ἡ τοῦ ζώου ὅλου ἀποτύπωσις.
Μορτὸς. ἄνθρωπος. βροτὸς.
Μοτοῖ. τιτρώσκει. σάσσει.
Μονόζωνος. μάχητος.

Μογιλάλος. μόγις λαλῶν.
Μονήρης. μοναχὸς.
Μονὴ. καταμονή. παραμονὴ.
Μόθος. μάχη. πόλεμος.
Μοθωνία. ~~φοίνικα~~ ἀλαζονεία τοῦ στόματος
Μορφνὸν. φοίνικα.
Μόθου. μάχης.
Μόρσιμον. εἱμαρμένον. μεμοιραμένον.
Μορμολύκεια. τὰ τῶν τραγῳδῶν προσωπεῖα.
Μόρφωσιν. σχηματισμὸν. εἰκόνα.
Μόρια. τὰ αἰδοῖα. τὰ μέλη.
Μόσχεια. κρέατα μόσχεια
Μόσχος. σημαίνει γ. τὸ μοσχάριον. καὶ τὸν ἀρωματι=
κὸν μόσχον. σημαίνει καὶ ἱμαντῶδες φυτὸν.
Μοτὸν. τὸ εἰς ἀναπλήρωσιν σαρκὸς τιθέμενον.
Μοτώσει. πληρώσει. ἰάσεται δι᾽ ὀθονίων. μοτάρια θήσει.
Μουσικὰ. τερπνὰ. τὰ δι᾽ αὐλῶν. καὶ κινύρας. καὶ τὰ
τούτοις ὅμοια
Μοῦσα. πολλὰ σημαίνει. ὄνομα κύριον θεᾶς. τὴν
θεωρίαν. καὶ εὐμορφίαν. τὴν γνῶσιν καὶ παίδευ
σιν. καὶ τὴν δι᾽ ὀργάνων εὐφωνίαν καὶ μελῳδίαν.
Μοχθηρία. λέγεται καὶ ἡ κακία.
Μουσάων. τῶν μουσῶν.

Μοχθῇ. κακοπαθῇ.
Μοχθηρὸς. κακὸς. πονηρὸς. ἐπίπονος.
Μύδρος. ὁ πεπυρακτωμένος σίδηρος.
Μῦθος. σημαίνει β. τὸν σκοτεινὸν λόγον καὶ τὸν ἁπλοῦν λόγον. μῦθός ἐστιν ὁ τὰ πεπλασμένα καὶ ψευδῆ ἔχων λόγος.
Μύλος. ἀπὸ τοῦ μυλίζειν λίαν. ἤγουν κόπτειν.
Μυκτὴρ. ἀπὸ τοῦ μηκαίνειν τὴν ὑγρὰν ἔνστασιν.
Μυδῶσιν. ὄζουσιν.
Μυδόντα. σημαίνει τὸν ὄζοντα.
Μυδᾶν. φυσᾶσθαι. ὀγκοῦσθαι.
Μύγματα. καταξέσματα.
Μυσταγωγία. διδασκαλία. μετάληψις.
Μυεῖται. διδάσκει.
Μυδαίνοντες. στεγγμένοι. ἠλκωμένοι.
Μυδαλέας. βεβρεγμένας. ὀζούσας.
Μυχαίτατον. ἐσώτατον.
Μύησις. μυσταγωγία. μυστικὴ γνῶσις.
Μῦθος. λόγος ψευδὴς εἰκονίζων τὴν ἀλήθειαν.
Μυκτηρίζει. χλευάζει. ἐξουδενεῖ.
Μυκηθμὸς. ἡ τῶν βοῶν φωνή.
Μύλη. τὸ κάτω τοῦ μύλου. τὸ δὲ ἐπάνω ὄνος λέγεται.
Μυντιζόμενος. μυοπάζων. καμμύων.
Μυούμενος. μυσταγωγούμενος. τελούμενος.

Μύρεσθαι. κλαίειν.
Μύρτα. ὁ καρπὸς τῆς μυρσίνης.
Μυσταγωγηθεὶς. διὰ μυστηρίων ἀχθεὶς.
Μυρίκη. δένδρον ἄχρηστον.
Μύστης. ὁ τῶν μυστηρίων εἰσηγητὴς.
Μυσταγωγὸς. ἱερεὺς.
Μύστης καὶ μυσταγωγὸς διαφέρει. μυσταγωγὸς ὁ μυῶν καὶ τελῶν. μύστης δὲ μυῶν καὶ πλούμενος.
Μυσαττόμενος. βδελυττόμενος.
Μύσος. βδέλυγμα. μύσους ἄξιον.
Μύσαντος. καμμύσαντος.
Μυσταγωγεῖ. μυστήρια διδάσκει.
Μύσταξ. αἱ τοῦ ἄνω χείλους τρίχες.
Μύχον. ἐβόησαν.
Μύρια. αἱ δεκαχιλιάδες.
Μυχῶν. σκοτεινῶν τόπων.
Μυχὸς. τὸ υ ψιλὸν σημαίνει τὸν ἐνδότερον τόπον. ἐὰν δὲ ἔστι τὸ οι δίφθογγος λέγει τὸν πόρνον.
Μυχὸς. ἀπόκρυφος τόπος.
Μυωπάζων. ὀφθαλμιῶν. καμμύων.
Μυωπιζόμενος. ἄκροις τοῖς ὀφθαλμοῖς προβλέπων
Μύκητες. οἱ σπινθῆρες.
Μύωψ. μυῖά τις ἐρεθίζουσα τοὺς βόας.

Μύωψ. ὁ κλύων πυκνῶς τοὺς ὀφθαλμούς.

Μυωξία. ὑβριστικὸς λόγος. σημαίνει καὶ τοὺς τῶν μυῶν χιρθὸς.

Μῶμος. ψόγος.

Μυωπάζω. τὸ τυφλώττω. μυωπίζω δὲ τὸ τύπτω.

Μῶλος. ὁ μολυσμός.

Μώλωψ. σίγματος διαφέρει. μώλωψ ἡ ἐκ πολέμου γινο-
μένη πληγή. σίγμα δὲ ἡ ἀπὸ δαρμοῦ πλῆξις καὶ σημείωσις.

Μωκῶ. τὸ καταπρόγω. καὶ διαμωκῶ τὸ καταγελῶ.

Μώλωψ. τραῦμα. πληγὴ μετὰ αἵματος.

Μωρός. ὁ ἄνους.

Μωκωμένης. χλευαζομένης.

Μωκός. χλεύης. ἢ χλευαστής.

Μῶν ἦλθεν. ἆρα ἦλθεν.

Μωμοσκόπος. φιλόψογος.

Μωμήσεται. ψέξει. μέμψεται.

Μωμητά. ψεκτά. κατεγνωσμένα.

Μῶλυ. εἶδος βοτάνης.

Μώνυχες. μονώνυχες

Μῶλυ. λέγεται καὶ σπαθ.

Μῶν ἐστι. ἆρα ἐστιν. ἀπορρηματικὸς σύνδεσμος.

# Ἀρχὴ τοῦ Ν.

Νάπυ. τὸ σίνηπι. κατὰ στέρησιν τοῦ ἠπίου διὰ τὴν δριμύτητα.

Νάπη. ὁ σύνδενδρος τόπος καὶ δύργος.

Νάπαι. ὑψώματα. ἀλλ' ὑπὸ τῆς ψάμμου. αὗται δὲ καὶ θῖνες λέγονται ἄμμου.

Νάπη. δρυμοὶ φάραγγες καὶ κοιλάδες.

Νάπος. ἔδαφος.

Ναός. παρὰ τὸ ἐν ἑαυτῷ νέειν. ὅ ἐστιν οἰκεῖν. ἢ νάειν ὅ ἐστι ῥέειν. σημαίνει δὲ τὸ θυσιαστήριον. καὶ ἀττικῶς νεώς. ναὸς δὲ καὶ βωμὸς διαφέρει.

Ναΐδες. νύμφαι πηγαί.

Ναίων. οἰκῶν.

Ναίοντα. οἰκοῦντα.

Ναὶ μήν. ὄντως δή.

Νάκεσι. δέρμασι προβάτων.

Νάβλα. ὄργανα μουσικά.

Νάνος. ὁ μικρὸς ἀνήρ.

Νάει. ῥέει. στάζει.

Νάουσι. στάζουσι.

Ναυάτης. νεὼς ἐπιβάτης.

Νάκος. αἴγειον δέρμα μετὰ τριχῶν.

Ναίουσιν. οἰκοῦσι.

Ναίων, ἰωνάς. οἰκῶν ὁ ἰωνάς.

Ναίεσθαι. πορεύεσθαι.
Νάσκει. φωκίδη.
Ναύκληρος. σκαφηφόρος.
Ναῦλον. οὐδετ. ἐκ τοῦ ναῦς καὶ τοῦ αὐλῶ τοῦ σημαί-
νοντος τὸ κατοικῶ ναυλόντι ὡς καὶ ναῦλον τὸ μίσθωμα
τοῦ πλοίου.
Ναστός. ὁ πεπιλημένος ἄρτος ἀπὸ τοῦ νάσσεσθαι ἀρτύ-
ματί τίς ἐστιν ἢ τραγήμασι.
Ναυτιόντα. κινδυνεύοντα.
Νεανιεύεσθαι. ἀπὸ τῆς νεότητος εἴρηται. ἥτις κατὰ
ῥώμην ἰσχύουσα ταύτη σεμνύνεσθαι. καὶ φιλοτιμεῖσθαι
φιλεῖ.
Ναύτης. ὁ ἄγων τὴν ναῦν.
Νᾶμα. ποτὸν ὕδωρ. ναμα παρα τὸ νῶ τὸ ῥέω. ὁ ὁ μελλ-
ων νάσω νᾶμα. ὡς δράσω δρᾶμα.
Ναῦς. πλοῖον.
Ναστόν. μεστόν. πλῆρες. μὴ ἔχων ὑπόκουφόν τι.
Ναυτιλλόμενοι. οἱ πλέοντες ναῦται.
Ναύαρχος. ὁ τῶν νηῶν ἄρχων
Ναυμαχία. ἡ διὰ πλοίων μάχη.
Ναυσιπόρος. ὁ διὰ τῆς θαλάσσης πλέων.
Νάφθα. θεῖον. πίσσα ὑδατώδης.
Νεανίας. τολμηρός.
Νεαρὸς. καὶ πρόσφατος διαφέρει. νεαρὸς μὲν ὁ νεωστὶ
γεννηθεὶς. πρόσφατος δὲ τὸ νεωστὶ ἐσφαγμένον κρέας.

Νείαιρα. σημαίνει τὸ ἔσχατον μέρος τῆς γαστρός.
Νεάζω. τὸ ἀκμάζω. καὶ νεάζω τὸ τὴν γῆν ἀροτριῶ.
Νεβρὸς. ἐλάφου γέννημα.
Νεανιεύεται. νεωτερικῶς ἀναστρέφεται.
Νεηγενὴς. ἀρτιγενὴς.
Νέαιρα. τὸ ἔσχατον τῆς κοιλίας.
Νεήκεσσι. νεωστὶ ἠκονημένοις.
Νεήλυδες. νεωστὶ ἐληλυθῶτες.
Νεοαρδία. νεοπότιστα.
Νεολαία. στρατιωτικὴ χεὶρ.
Νέονται. πορεύονται.
Νεοσσὸς. ὁ νεωστὶ σειόμενος καὶ ἐξορμῶν τῆς γαστρὸς.
Νεκεσσάριος. ἀναγκαῖος. νεκεσσάρια. χρηστικὴ.
Νεόθρεπτον. νεωστὶ πεπηγότα τυρόν.
Νεοχμοῦμαι. νεοποιοῦμαι.
Νεῶτα. εἰς τὸν ἐπιόντα.
Νεῖν, οὐκ οἶδε. κολυμβᾶν οὐκ οἶδε.
Νεικέα. φιλονεικία.
Νεῖλος. ἀπὸ τῆς νέας ἰλυὸς. ἢ ἀπὸ βασιλέως οὕτω καλουμένου. ἢ διὰ τὸ νεάζειν τὴν ὕλην.
Νείφειν. βρέχειν.
Νέκυς. ὁ νεκρὸς.
Νείλειον. ῥεῦμα.

Νεόσμηκτον. ἔσοπτρον. ἐκ τοῦ σμήχω τὸ καθαίρω. τὸ νεωστὶ καθαρθὲν κάτοπτρον.

Νεκρός. παρὰ τὸ νε στερητικὸν καὶ τὸ κὴρ ὃ σημαίνει τὴν ψυχήν. ἐστερημένος τῆς ψυχῆς.

Νέκταρ. καὶ ἀμβροσία διαφέρει. νέκταρ μὲν γὰρ λέγεται τῶν θεῶν πόμα. ἀμβροσία δὲ ἡ τῶν θεῶν βρῶσις.

Νείκεσεν. ὕβρισεν.

Νεκταρέου. καθαροῦ. ἡδείου.

Νεικέα. φιλονεικία. νέοις γὰρ ἡ φιλονεικία ὁμοιῶτα

Νεικείων. ὀνειδίζων.

Νεκυομαντεία. νεκρομαντεία. ἐν τοῖς νεκροῖς γὰρ ἐμάντευον.

Νέκυας. νεκρούς.

Νεκύεσσι. νεκροῖς.

Νέμεσις. ὕβρις. μέμψις. φθόνος.

Νεμεσῆσαι. μέμψασθαι. ἀιτιάσασθαι.

Νέμεται. βόσκεται.

Νενευκότι. συγκύψαντι.

Νεογνόν. νεωστὶ γεννηθέν.

Νεόκμητι. νεωστὶ κατεσκευασμένον.

Νεολαίαν. νέον λαόν.

Νέος. νεώτερος.

Νεόλεκτος. νεοστράτευτος.

Νεοθηλης. νεωστὶ βλαστήσας.
Νείατον. τὸ ἔσχατον
Νεῖν. τὸ νήθειν.
Νοτος. διότι νόθους ποιεῖ τοὺς καρπούς.
Νέρθεν. κάτωθεν.
Νέρτερος. κατώτερος. ἢ ὑποκάτωθεν νεκροῦ. ἢ νεκρὸς ὑπὸ γῆν.
Νεικῶ. φιλονεικῶ.
Νεόφθιτον. νεωστὶ τελευτῆσαν. νεωστὶ φθαρέν.
Νεολέα. ὁ νέος λαός. ἐκ τοῦ νέος καὶ τοῦ λαοῦ.
Νεωλέα. ὁ ἐν τῷ ναῷ ἔσω λαός.
Νέποδες. οἱ ἰχθύες.
Νευστάζων. παρὰ τὸ νεύειν καὶ ὑπήκειν εἰς τοῦτο ἤγουν διὰ τὴν ἐπιγομένην τοῦ ὕπνου καταφοράν.
Νέφος. σκότος ὑδάτων.
Νώροπα. λαμπρόν.
Ναός. νεὼς ἀττικῶς.
Νεωτερίζει. καινὰ πράττει. ἐνταιρεῖ.
Νέφος. κενὸν φάους.
Νεωτεροποιός. ἀντάρτης. τύραννος.
Νεωστὶ. ἀρτίως προσφάτως.
Νεῶν. ναῶν.
Νεωκόρος. ὁ τὸν ναὸν κοσμῶν. κορεῖν γὰρ τὸ σαρίζειν.

Νεώσατε. ἀροτριώσατε.
Νεώνητος. νεωστὶ ἀγορασθείς.
Νηδύς. μήτρα. γαστήρ.
Νηδύος. γαστρός.
Νηράτιον. καινόν.
Νῆα. πλοῖα.
Νήτην. μάτην.
Νὴ θεόν. μὰ τὸν θεόν.
Νηλεής. ἀνελεής.
Νηκτά. τὰ ἔνυδρα. παρὰ τὸ νήχεσθαι. ὅ ἐστι κολυμβᾶν.
Νηκούστησε. παρήκουσε.
Νηκερδέα. ἀκερδῆ. ἀνωφελῆ.
Νουμέρου. ἀριθμοῦ.
Νήριτον. τὸ ἀναρίθμητον.
Νηλεὲς ἦμαρ. σκληρὰν ἡμέραν.
Νήστης. ἔντερον οὕτω καλούμενον. διὰ τὸ κενὸν εἶναι σιτίων. καὶ ὁ νήστης ἄνθρωπος.
Νηῦς. πλοῖον.
Νηλιτής. σημαίνει δὲ τὸν ἁμαρτωλόν.
Νήλιπος. ἀνυπόδετος.
Νημερτές. ἐπίρρημα. ἀληθεῖς. ὁ μὴ ψευδόμενος.
Νηνεμία. ἀνέμων ἀπουσία.
Νηπύτιος. ἀνόητος.
Νηπιάζει. μωραίνει.

Νήπιος. πλεονασμῷ τοῦ ν. ὁ ἤπια νοῶν. πραέα. ἢ κατὰ στέρησιν τοῦ λαλεῖν καὶ νοεῖν.

Νηποινὶ. ἄνευ τιμωρίας.

Νήχεται. κολυμβᾶ.

Νηρίθμους. ἀναριθμήτους.

Νηρίτης. σημαίνει τὸν κογχον. ἤγουν κοχλίαν θαλάσσιον.

Νήφω. τὸ μεθύω. διὰ τοῦ η. καὶ νήφω τὸ εὔχομαι.

Νήφειν. ἐγρηγορέναι. προσεύχεσθαι. προσέχειν.

Νοου. νοός. λογισμοῦ.

Νήχω. καὶ νέω. τὸ κολυμβῶ.

Νίκειος. ἔρως.

Νίζει. νίπτει. κλύζει. ἀποσμήχει.

Νιφάδες. χιόνες.

Νιφετὸς. ὄμβρος. ἡ κατὰ λεπτὸν φερομένη χιών.

Νίφει. χιονίζει.

Νωθρὸς. ἀσθενής.

Νικτήριος. λιμήν.

Νοερὸν. τὸ τὰ ἄσπα νοήματα τηροῦν.

Νοερὸν. πνευματικὸν ἄϋλον.

Νοητὰ. τὰ μὴ ὁρώμενα.

Νοθεύει. ἀπαλλοτριοῖ. ἀπατᾶ. ἀναπείθει. κολακεύει.

Νόθος. ὁ μὴ γνήσιος υἱός. ὁ πορνιογέννητος.

Νυὸς. νύμφη. υἱοῦ γυνή.

Νομοΐστορος. νομομαθεῖς.

Νοῦς. παρὰ τὸ νέεσθαι πάντοτε κινούμενος. καὶ ἐπὶ πάντα ποιῶν. τί γὰρ ὁρμητικότερον νοῦ.

Νομίζω. τὸ δοκῶ.

Νοσφισμὸς. χωρισμὸς. ἀποστέρησις. ἀφαίρεσις. ἀποκρυφὴ. κλεψία.

Νότος. ὁ ἄνεμος. νότος ὁ ἱδρὸς.

Νομῆες. ποιμένες.

Νόμος. συνήθεια. θεσμὸς.

Νομάδες. βοσκόμεναι ἀγέλαι.

Νομὴ. βοσκὴ.

Νοσηλεύεσθαι. νοσεῖν οὐ βαρέως.

Νόστος. ἡ ἐπάνοδος. λέγεται δὲ καὶ ἡ ἡδύτης τῆς γεύσεως.

Νοτεῖος. δίυγρος. νοτίδα ἔχων καὶ μεσημβρινὸς τόπος.

Νοῦσον. νόσον. ἀρρωστίαν.

Νουθέτημα. συμβουλίαν.

Νουνεχὴς. συνετὸς. σοφὸς.

Νίσυρος. νῆσος.

Νίμφιος, καὶ νύμφιος διαφέρει. νίμφιος λέγεται ὁ πεποικιλμένος, οἶκος καὶ ὁ θάλαμος. νύμφιος δὲ αὐτὸς ὁ γεγαμηκὼς.

Νύμφη. ὅτι ἐν μὲν τῇ παρθενίᾳ ἐκλείετο. γαμηθεῖσα δὲ ἐφαίνετο.

Νυμφοστόλος. νυμφαγωγὸς.

Νυκτίβιος. ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων.

Νυκτομαχία. ὅτε νυκτὸς μάχονται πολέμιοι. καὶ οὐχ ὁρῶσιν ἐν τῷ σκότει

Νῦν. ἐπὶ τοῦ παρόντος.

Νύσσα. ὁδὸς. καμπτήρ. τέρμα. βαθμός.

Νύχιος. νυκτερινός.

Νύχος. νύξ.

Νῦν καὶ νυνὶ διαφέρει. τὸ μὲν γὰρ νῦν χρονικὸν ἐπίρρημά ἐστι. τάσσεται ἐπὶ τῶν τριῶν χρόνων. ἐνεστῶτος. καὶ παρῳχημένου καὶ μέλλοντος. οἷον. νῦν ὁ ἄρχων διῆλθεν. νῦν ὁ ἄρχων ἐστι. νῦν ὁ ἄρχων ἔσται. τὸ δὲ νυνὶ ἐπὶ μόνου τοῦ ἐνεστῶτος.

Νῶτα. τὰ μετάφρενα.

Νώδυνον. ἀνώδυνον.

Νωτάριος. ὁ βαρυβαστάκτης. νοτάριος δὲ ὁ γραφεύς.

Νωθής. βραδύς. ἀμβλύς.

Νωδός. νωθρός.

Νωθροκάρδιος. βραδὺς κατὰ λογισμόν.

Νῶϊ. ἡμῖν τοῖς ἀμφοτέροις ἡμεῖς.

Νωΐτερος. ἀπὸ τῆς νῶϊ δυϊκῆς ἀντωνυμίας καὶ σημαίνει τὸν ἡμέτερον. οὕτως καὶ σφωΐτερος ἀπὸ τῆς σφῶϊ δυϊκῆς ἀντωνυμίας. δευτέρου προσώπου. καὶ σημαίνει τὸν ὑμέτερον. ὁ σφέτερος δὲ ἀπὸ τοῦ σφεῖς τρίτου προσώπου καὶ σημαίνει τὸν ἀλλότριον.

Νῶτα θαλάσσης. τὰ ἐπιφάνεια τῆς θαλάσσης.

Νωτοφόρος. ὁ εἰς τὴν νῶτον βαστάζων τὰ ἀχθητοπῆ τὰ βάρη.

Νωδός. ὁ μὴ ἔχων ὀδόντας.

Νωχελής. ὁ ἀργός. καὶ βραδὺς ὁμαλός. δυσκίνητος. καὶ ἐκλελυμένος.

Νωχελία. ῥαθυμία

Νωπαῖος. μυελός.

Νωπαῖον. δέρμα.

Νωπαία. ἡ θρίξ.

Νώκης. ὁ δυσκίνητος.

Νώροψ. ὁ μὴ ἐὼν εἰς ἑαυτὸν ἀφορᾶν τὴν ὄψιν διὰ τὸ ἄγαν λαμπρόν. ἀμαυροῖ γὰρ τὴν ὄψιν τὰ πάνυ λαμπρά.

Νῶε. κύριον ὄνομα. παρὰ τὰ νῶ τὸ κολυμβῶ.

## Ἀρχὴ τοῦ Ξ.

Ξαίνω. νήθω. στορεύω.

Ξανθόν. πυροειδῆ.

Ξανθίζεσθαι. κοσμεῖσθαι τὰς τρίχας.

Ξάνθος. ποταμὸς τροίας.

Ξένος. ὁ ἐκτὸς ἐνώπαυτος ὤν.

Ξενοδόχος. ὁ τοὺς ξένους φιλοφρονῶν καὶ ὑποδεχόμενος.

Ξενηκούσθησαν. ἔστι ξένον. ὃ σημαίνει τὸν θαυμαστόν. καὶ τὸ ἀκούω. καὶ ἐκ τούτου κατὰ σύνθεσιν γέγονε.

Ξενία. δύο σημαίνει. τὴν κατοικίαν καὶ τὴν μακρὰν ὁδόν.

Ξενοσύνην. ξένην φιλίαν.

Ξεῖνοι. οἱ ἀπὸ ξένης φίλοι.

Ξεῖνον. φίλον.

Ξεστόν. ὡμαλισμένον.

Ξεναγῶν. ὁ τοὺς ξένους ἄγων. ὁδηγῶν. ξενοδοχῶν.

Ξενία. καταγώγιον. κατάλυμα.

Ξενίζουσαν. ἀλλόφυλον. ἀηθῆ.

Ξιφήρεις. ξιφηφοροῦντας.

Ξιφίσματα. αἱ ὀρχήσεις.

Ξηνός. ὁ κορμός.

Ξόανον. ὁ ἐξεσμένος λίθος. ἢ ἐλεφάντινον. βρέτας δὲ τοῦ ἀνθρώπου ὅμοιον.

Ξύει. γράφει. ξύσματα γὰρ τὰ γράμματα.

Ξουθός. ξανθός.

Ξουθά. ξανθά.

Ξύμπαντος. τοῦ σύμπαντος.

Ξυμβαίει. συμβαίη.

Ξυλιζομένη. ξύλα. συλλέγουσα.

Ξύμμαχοι. σύμμαχοι.

Ξυνωρίδα. ζυγὴν. κυρίως δὲ ἐπὶ τῶν ἡμιόνων. ὀρεὺς γὰρ ὁ ἡμίονος.

Ξύνιον. ἐπείθοντο.

Ξυμβαίνει. συμβαίνει.

Ξύλον. ὃ τὸ ξίφος ὀλεῖ.

Ξύγκλυδες. σύμμαχοι. παρείσακτοι.

Ξυνθήματος. σημείου.

Ξυνάρασθαι. συναρμόσασθαι. συγκαταθέσθαι.

Ξυνίςωρ. συμπράκτωρ. συμβούλιος. συγγνωςής.

Ξυνωρὶς ἐπὶ δυσί. ζεῦγος ἐπὶ πλειόνων.

Ξύσαι. γράφαι.

Ξύνιον. ξένον.

Ξύτρα. χλανὶς.

Ξυνιέναι. συνιέναι. νοῆσαι.

Ξυνουσία. συνουσία. μίξις.

Ξυνεχῶς. συνεχῶς. διαπαντὸς.

Ξυναρμόσας. συναρμόσας. συνάψας.

Ξυνωρίδα. ἅρμα ἐκ δύο ἵππων συνεζευγμένον.

Ξυνῶν. κοινῶν.

Ξυςίδας. περιβόλεια.

Ξυνάορον. γαμετὴν.

Ξυμπονῆσαι. συμπονῆσαι.

Ξύνια. κοινὰ πράγματα.

Ξυνθήματος. συνθήματος. ἐςι δὲ σημεῖον. ἢ πρόσ=φθεγμα διδόμενον ἐπὶ γνωρισμῷ τῶν οἰκείων ἐν πολέμῳ ἢ ἑτέρᾳ τινὶ ἐπιβουλῇ.

Ξύνοιδα. σύνοιδα.

Ξύνθακος. συνκάθεδρος.

Ξυνοδόχος. ξενοδόχος.

Ξυςίδα. λεπτὸν ὕφασμα.

Ξυσμὸς. κνησμὸς.

Ξυςὸς. τόπος ἀφορισμένος ἀθλητῶν.

Ξυνωμασία. ὁρκωμασία.

Ξώθεν. ἔξωθεν.

# Ἀρχὴ τοῦ Ο.

Ο. ὅτι κατὰ περίκλασιν φωνῆς ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου. ἡ δὲ ἐκφώνησις ἐμφερὴς ἐστὶ τῷ χαρακτῆρι.

Ο. ἄρθρον ὑποτακτικὸν μεταχθὲν εἰς ἀντωνυμίαν μεταφορικήν.

Οαρισμοί. διάλογοι.

Οάρων. γυναικῶν.

Οαροι. αἱ γαμεταί. ὁμόαροι.

Οβελίας. ἄρτος σπιημένος.

Οβακχεῖον. ὁ μανεὶς.

Οβελίαρ. ὁ διάβολος.

Οβελὸς. εἰς ὃν διαπειρῶνται τὰ κρέα μέλλοντα ὀπτᾶσθαι.

Οβελὸς. παρὰ τὸ βέλος. ὁ ἐοικὸς βέλει.

Οβριμος. δυνατὸς. ἰσχυρὸς.

Οβριμοεργὸς. μεγαλοεργὸς. μεγαλοπράγμων.

Ογκινος. ἐπικαμπὴς σίδηρος.

Ογκος. ἡ ὑπερηφανία. καὶ τὸ μέγεθος τοῦ ποσοῦ.

Οδὸς. σημαίνει τὸν βίον. τὴν ἐνέδραν. τὴν κοινῶς νοουμένην ὁδὸν. καὶ μέτρον ὁδοῦ.

Οδ' ἐγὼ. αὐτὸς ἐγώ.

Οδάξι. τοῖς ὀδοῦσι δάκνει.

Ὀδαξισμός. ὀδόντων πρισμός.
Ὀγε. οὗτος. ὀδίνα.
Ὀδίτης. ὁδοιπόρος.
Ὀδιμάλεος. ὁ εὐλαβής.
Ὀδμή. ὀσμή. ἀποφορά.
Ὀδοιδόκος. ὁ ἐν ταῖς ὁδοῖς πανοῦργος. κλέπτης.
Ὀδυρμός. κλαυθμός.
Ὀθνείαν. ξένην.
Ὀδύνας. πόνους. λύπας.
Ὀδυρομένου. κλαίοντος.
Ὀδωδότα. ὄζοντα.
Ὀδώδειν. ὄζει πονηρὰν καὶ βαρυτάτην ἐπιφοράν.
Οἶδα. ἐπίσταμαι.
Οἰζυρός. ἐπίπονος.
Ὄθη. φροντίς. λόγος.
Ὀθνεῖος. ξένος. ἀλλότριος.
Ὀθηλυδρίας. ὁ τεθηλυμένος. ὁ γυναικοκάρδιος.
Ὀθόνη. πᾶν τὸ ἰσχνὸν κἂν μὴ λινοῦν ᾖ.
Οἰακίζει. κυβερνᾷ.
Ὄρμος. ἡ ἐπὶ στίχων φυτεία τῶν δένδρων.
Ὀζῶ. πνέω. ὄζω δὲ θαυμάζω.
Ὄθω. τὸ λεπτύνω. ἐξ οὗ καὶ ὀθόνη τὸ λεπτότατον ἱμάτιον.
Οἰδάλεον. τὸ ὑγρόν.

Οἴδμασι. κύμασι.

Οἴαξ. ὁ κανὼν δι' οὗ τὸ πηδάλιον φέρεται. ἐκ τοῦ οἴω
τὸ κομίζω.

Οἷοι. δυνατοί.

Οἱ. αὐτοί.

Οἷα δή. ἅτε δή. ὥσπερ δή.

Οἰγνύει. ἀνοίγει.

Οἴδημα. ὄγκωμα. ἀπόστημα. ὡς ἐκ μεταφορᾶς δὲ τῶν
νεκρῶν σωμάτων καὶ ἐπὶ τῆς γῆς ἐπάρσεως λέγεται.

Οἵδε. οὗτοι.

Οἰδήσεις. φλεγμοναί. φυσήσεις.

Οἰδήματα. ἐπάρματα. φυσήματα.

Οἰδάνει. ὀγκοῦται. φλεγμαίνει.

Οἴη. νομίζεις.

Οἴεσθαι. ὑπονοεῖν.

Οἰήσονται. νομίσωσι.

Οἴες. πρόβατα.

Οἰζυρός. ἐπίπονος. κακοπαθής.

Οἰήσεως. δοκήσεως. ἐπάρσεως

Οἴησις. ἔπαρσις. ἐπίνοια.

Οἴκοθι. ἐν οἴκῳ.

Οἴκτου. ἐλαίου. συμπαθείας.

Οἰκεῖος. ἴδιος.

Οἰκονόμος. παρὰ τὸ οἰκεῖον ἑκάστῳ νέμειν. ἢ τῷ οἴκῳ.

ἐρῶ. τί ἐστιν οἰκονόμος; ἀπο· οἰκονομία ἐστὶ πρᾶγμα μὴ ὀφεῖλον γενέσθαι. γίνεται δὲ διὰ συγκατάβασιν καὶ ὠφέλειαν τινῶν. καὶ ἄλλως. οἰκονομία ἐστὶν ἑκούσιον μεγέθους συγκατάβασις πρὸς σωτηρίαν τινῶν τελουμένη.

Οἶνος. παρότι πινόμενος οἴει τὸν νοῦν. τουτέστι φυσᾶν καὶ ἀμβλυοπεῖν καὶ ἐν ἡμέρᾳ ὡς ἐν νυκτὶ διάγειν ποιεῖ.

Οἰκουρός. ὁ φροντίζων τοῦ οἴκου καὶ φυλάττων. οὖρος καὶ ὁ φύλαξ.

Οἰκοτρίβων. οἰκογενῶν δούλων.

Οἴκαδε. εἰς τὸν ἴδιον οἶκον. ἐπίρρημα τοπικόν.

Οἶκτος. ἔλεος. φιλανθρωπία. καὶ θρῆνος.

Οἰκεῖα. ἴδια.

Οἰκία. οἶκος.

Οἴκοι. ἐν οἴκῳ.

Οἰκτρός. ἐλάχιστος. οὐδενὸς ἄξιος.

Οἰκτρῶς. ἐλεεινῶς. ἀθλίως.

Οἰκεῖος. ἴδιος.

Οἰκότριψ. οἰκογενὴς δοῦλος.

Οἰκέτην. θεράπαινίδα. δούλην.

Οἰμώζει. στενάζει.

Οἰκόπεδον. ἔρημον κατάπτωμα οἴκου.

Οἰμωγαί. θρῆνοι ἡσύχιοι μᾶλλον παρὰ τὸ οἴμοι. ὅ ἐστι θρηνῶδες φθέγμα.

Οἴμοι. ἀντὶ τοῦ οὐαί μοι.

Οἶμον. ὁδὸν κύκλον. καὶ ὀρχισμόν. ἔνθεν καὶ παροιμία κέκληται. τὸ παροδικὸν διήγημα. ἔστι δὲ λόγος ὠφέλιμος.

Οἶμαι. νομίζω. ὑπολαμβάνω.

Οἰμωγήν. ἡσύχιον θρῆνον. στεναγμόν.

Οἴνη. ἡ ἄμπελος.

Οἰνοβαρής. μέθυσος.

Οἰνόφλυξ. ὁ ἐξ οἴνου φλεγόμενος.

Οἰόμεθα. νομίζομεν.

Οἰνοχόος. ἐπικέρνης. ὁ τὸν οἶνον χέων.

Οἱονεί. δύο μέρη λόγου εἰσίν. οἷον ὄνομα. καὶ εἰ σύνδεσμος. καὶ ἐν συνθέσει γέγονεν ἐπίρρημα.

Οἴχεται. περιπατεῖ. τρέχει.

Οἰχή. ἐπίρρημα σχετλιαστικὸν καὶ ἀποδεκτικόν.

Οἰστοί. τὰ βέλη ἤτοι τὰ τόξα δισσυλάβως.

Οἴχω. τὸ πορεύομαι. καὶ οἰχῶ τὸ πορεύσομαι.

Οἰοπόλοισιν. ἡ ἐρήμοις ἐν οἷς ἔστι μόνον πολεῖσθαι ὅ ἐστι ἀναστρέφεσθαι. ἡ ἡμέροις ἐν οἷς ἄν τις πορεύη τὸ ἥμερον. ἢ ἐν οἷς οἴες ἀναστρέφονται. οἷον ὅπου νέμονται τὰ πρόβατα.

Οἰόν τι. δυνατόν.

Οἰμης. ᾠδῆς.
Οἴονται. νομίζουσιν.
Οἰόμενος. νομίζων. ἐπαιρόμενος.
Οἶουλος. τὸ γένειον, ὅταν ἐκφύειν ἄρχηται. ἡ πρώτη βλάστησις τῶν τριχῶν.
Οἶος. μόνος. ἢ ποῖος.
Οἴεται. νομίζει ὑπολαμβάνει.
Οἰχήσονται. πορεύσονται.
Οἰσητοῦτος. ὁ κατέχων.
Οἱ προσκείμενοι. οἱ προσκολλούμενοι. οἱ προσεγγίζοντες.
Οἵπερ ἂν ὦσιν. ὅσοι περ ὦσιν. ὅσοι ἂν ὑπάρχουσιν ἤ τινὲς εἰσίν.
Οἶτος. ὁ θάνατος.
Οἶσθα. οἶδας. γινώσκεις. ἐπίστασαι.
Οἰστὸς. φορητὸς. εὐβάστακτος.
Οἶχοι. τὰ τῶν βοτρύων κλήματα.
Οἶος ἐξ οἴου. μόνος ἐκ μόνου.
Οἰστὸν. ἐλαφρὸν. ὃ δύναταί τις ὑπενέγκαι καὶ ὑπομεῖναι.
Οἶστρος. ἐρεθισμὸς. μανία. ἔκκαυσις. πύρωσις. λέγεται δὲ καὶ ἐπὶ θυμοῦ. ἐξ οὗ καὶ τὸ παροιστρεῖν.
Οἴσομεν. κομίσωμεν. προσαγάγωμεν.
Οἰστρόπληγα. τῇ μανίᾳ πληγέντα.
Οἰστεύσας. τοξεύσας. οἰστὸς γὰρ τὸ βέλος.

Οἰστρηλατούμενοι. μαινόμενοι.

Οἰωνοῖσι. τοῖς σαρκοφάγοις ὀρνέοις.

Οἰῶν. προβάτων.

Οἴχεται. πορεύεται. ἢ πεπόρευται. ἀπεξενῶται.

Οἴηον. τὸ πηδάλιον. δι' οὗ ἡ ναῦς φέρεται.

Οἶς. πρόβατον.

Οἰκοῖον. ὁποῖον ἀτιμικῶς.

Οἰχήσεται. ἀποδραμεῖται. ἀπελαθήσεται.

Οἰωνοβρώτους. ὑπὸ ὀρνέων βεβρωμένους.

Οἰωνοί. γῦπες. πτηνά. ἢ ὄρνεις τινὲς δι' ὧν ἐμαντεύοντο.

Οἰωνίζετο. ἀπὸ ὀρνέων τὸ μέλλον ἐστοχάζετο.

Οἰωνισάμην. παρετηρισάμην. προεμαντευσάμην.

Οἰωνοσκόπος. ὀρνιθοσκόμος. ὀρνιθομάντης.

Ὁ καθεὶς. ὁ χαλάσας. ἢ ὁ καθ' ἕνα ἕκαστος.

Ὀκέλλει. προσορμᾷ. ἐκρίπτεται. εἴρηται δὲ ἐπὶ τῶν νηῶν.

Ὀκλάζει. λογγάζει. χωλεύει. εἰς γόνυ κάμπτεται. δισάζει. ἀποκάμνει.

Ὀκλάζει. τὸ γόνυ κάμπτει.

Ὁλοκαύτωσις. παρὰ τῷ ὁλοκαυτῶ. ἐτυμολογεῖται δὲ παρὰ τὸ ὅλον καίεσθαι τὸ ἱερεῖον.

Τί διαφέρει πλούσιος. εὔπορος. ἀφνειός. ὄλβιος. εὐδαίμων. εὐτυχὴς μακαρίου διαφέρουσι. πλούσιος γάρ ἐστι ὁ πολλὴν οὐσίαν ἔχων. εὔπορος. ὁ εἰς τὰς ἐπιβαλλούσας

Χρείας ὑπάρχων ἐνδεής. ἄφνειος ὁ ἀπὸ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων. ἔνος γὰρ ὁ ἐνιαυτός. Ὄλβιος δὲ ὁ πλείαν τὴν εὐδαιμονίαν ἔχων. οἷον ὄλβιος τὸν εὐδαίμονα καὶ πλούσιον.

Ὄλβον. τὸν πλοῦτον. ἢ χρυσόν.

Ὀλοφυρόμενος. κυρίως τὸ μετὰ πλμοῦ τῶν τριχῶν κλαίειν.

Ὀλβοδότης. πλουτοπάροχος.

Ὄλεθρος. θάνατος.

Ὀλισθός. σημαίνει τὸν ἐμποδισμόν.

Ὀλκός. σημαίνει πολλά. τὸ πλῆθος. τὴν ἕλκυσιν τοῦ πλοίου. τὸν ναύσταθμον. τὸν ὅρμον. τὸν ἀγωγὸν τοῦ ὕδατος. καὶ τὴν στάθμην ἤτοι τὸν ζυγόν. καὶ τὸ μέτρον. καὶ τὸ μῆκος τοῦ ὄφεως. καὶ τὴν δύναμιν.

Ὅλος. τοῦ πᾶς διαφέρει. ὅλος ἐφ᾽ ἑνὸς τάσσεται. οἷον· ὅλος τέτρωται ὁ ἄνθρωπος. πᾶς δὲ ἐπὶ πλειόνων. οἷον. πᾶς ἄνθρωπος ψεύστης.

Ὀλέκει. ἰσχύει. φονεύει.

Ὀλιγοδρανής. ὀλίγα ἰσχύων.

Ὀλετῆρες. φονεῖς. ἀφανισταί.

Ὀλεῖ. ἐξολοθρεύει. ἀπολλύει.

Ὀλικῶς. ἐξ ὅλου. ὅτι ἐστὶ ἐπίρρημα.

Ὀλιγαρχούμενοι. ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς δὲ εἰσὶ πολιτεῖαι. βασιλεία ἤγουν μοναρχία. ὀλιγαρχία. δημοκρατία.

Ολίγου δεῖν. σχεδόν.

Ολίγωρος. ἀμελής.

Ολίγα ἅπτα. ὀλίγα τινά.

Ολισθαίνει. ἐκλυσρᾶ. πίπτει.

Ολισθήμασι. πλάναις παραβάσεσιν.

Ολιγογνώμων. ὀλίγωρος.

Ολιγοδεής. ὀλίγα χρήζων.

Ολκόν. ἰσχυρόν.

Ολκάδες. πλοῖα.

Ολλύει. ἀπόλλυσι. φονεύει.

Ολμος. ἐν ᾧ πτίσσουσι τὰς κριθάς. καὶ τὸ τῶν μυ=
ρεψῶν. ἐν ᾧ καταλιαίνουσι τὰ παχύτερα τῶν μυ=
ρεψικῶν. τὸ δὲ τύπτον ὕπερον λέγεται.

Ολοσχερῶς. τελείως.

Ολυρα. ζειά.

Ολοφυρμός. θρῆνος. κοπετός.

Ολοφύρεται. ἀποδύρεται. κλαίει. θρηνεῖ.

Ολοκαρπούμενον. ὅλον προσφερόμενον.

Ολλυσθαι. ἀπόλλυσθε.

Ολλύμενον. ἀπολλύμενον.

Ολμειος. ὄνομα ποταμοῦ.

Ολλυμένας. ἀπολεσθείσας.

Ολολυγμός. θρῆνος μετὰ κραυγῆς.

Ολκαῖς. δυνάμεσι.
Ολοφυδνόν. οδυρτικόν.
Ολκά. δυνατά.
Ολκή. δύναμις.
Ολοκαυτοῦται. ὁλόκληρον ἀποδαπανᾶται.
Ολολύξαι. μετὰ κραυγῆς εὔξασθαι.
Ολοώπτρος. ὀλεθριώπτρος.
Ολκήν. στάθμην. ἄρειδὲ γράμματα τρία.
Ολυμπονίκης. γενναιότατος ἐν παλαίστρα στεφανωθεὶς.
Ολυμπονίκη. ἡ πανήγυρις.
Ολυμπος. οὐρανός. θεοῦ δικητήριον. ἐστι δὲ καὶ ὄρον ἐν μακεδονίᾳ οὕτω καλούμενον.
Ιστέον. ὅτι ὁ τῆς ολυμπιάδος χρόνος ἐξ, ἥμισυ ἐνιαυτοὺς καὶ τρί ἔχει.
Ολύμπιος. οὐράνιος. θαυμαστός.
Ολυρα. ἡ κριθή. ὀλυρίτης ἄρτος ὁ κριθῖς.
Ολωλαμεν. ἀπολώμεθα. ἀποθάνομεν.
Ομαδος. κραυγή. θόρυβος.
Ομαρτεῖ. ἀκολουθεῖ.
Ομαιμος. ἀδελφὸς γνήστος ἐκ τοῦ αὐτοῦ αἵματος.
Ομέστιος. ὁμόοικος. ἑστία γὰρ ἡ οἰκία
Ομηρία. ἡ συνάντησις.
Ομείρονται. ἐπιθυμοῦσιν.

Ομηρεία. ἡ ἀντιπρόσωψις. καὶ ἡ φιλία. καὶ ἡ λέξις.

Ομηροι. οἱ ἕνεκεν εἰρήνης καὶ ὁμονοίας διδόμενοι παῖδες. ἐνέχυρα.

Ομῆ. ὀμνύει.

Ομηγύρεως. συναθροισμοῦ. συνόδου. συνελεύσεως. πλήθους.

Ομῆλιξ. τῆς αὐτῆς ἡλικίας. συνηλικιώτης.

Ομιλεῖ. συναστρέφεται.

Ομηρον. ἐνέχυρον.

Ομοδουλοι συνδούλων διαφέρει. ὁμόδουλοι γάρ εἰσιν οἱ μετάχοντες ὁμοίας τύχης δουλικῆς. σύνδουλοι δὲ οἱ ἀλλήλοις δουλεύοντες.

Ομιλον. ἄθροισμα.

Ομὲν καὶ ὁδέ. σύνδεσμοι ἀρσενικῶν ὀνομάτων ἔναρθροι. ἡμὲν καὶ ἡδὲ σύνδεσμοι θηλυκῶν ὀνομάτων ὁμοίως ἔναρθροι.

Ομόγνια. ὁμογενῆ. γνήσια. φίλα.

Ομογενῶν. συγγενῶν.

Ομίχλη. παχὺς ἀήρ. σκότος. ἀορασία.

Ομβσε. ὁμοῦ. ἢ σφοδρῶς. καὶ θρασέως.

Ομώνυμον. συνωνύμου διαφέρει. τὸ γὰρ ὁμώνυμον ὀνόματος μόνου κατηγορεῖται. τὸ δὲ συνώνυμον καὶ πράγματος καὶ ὀνόματος.

Ομώνυμά ἐσιν ὅταν δύο πράγματα μόνῳ ὀνόματι κοινωνοῦσι. ὡς ἐπὶ εἰκόνος καὶ τοῦ παύλου. τὰ γὰρ ἀμ=

ἀμφότερα λέγεις ἄνθρωπον. ἀλλὰ μόνῳ τῷ ὀνόματι κοινωνοῦσι. τῷ δὲ πράγματι διαφέρουσι.

Ὁμοδίαιτοι. ὁμοτράπεζοι.

Ὅμορος. πλησιόχωρος. γειτνιῶν.

Ὁμόθυμος. ὁμόψυχος. ὁμόφρων.

Ὁμοσπόνδους. φίλους.

Ὁμοφυής. ὁμογενής.

Ὁμόρροφοι. ὁμόσκηνοι. σύσκηνοι.

Ὁμορροθεῖ. συμφωνεῖ.

Ὤμοι. οἴμοι ἐμοί.

Ὁμολόγως. συμφώνως.

Ὁμόζυγος. γαμετή. σύμβιος.

Ὁμόθρους. ὁμοφθόγγους.

Ὁμαιχμία. ὁμομαχία. συμμαχία.

Ὄμορξον. ἀπόμαξον.

Ὁμοφροσύνη. ὁμόνοια.

Ὀμοῦμαι. ὀμνύω

Ὁμόδουλος. σύνδουλος.

Ὀμφαλόεν. στρογγύλον.

Ὄμφαξ. ἡ ὠμένη σταφυλὴ εἰς φάγειν.

Ὀμφήν. φωνήν. κληδόνα. φήμην θείαν. ἢ ὀνείρου φαντασμα.

Ὄναιντο. ὠφεληθεῖεν.

Ονείνησιν. ὠφελεῖ.
Ονάιμην. ἀπολαύσαιμαι. ὠφεληθείην.
Ονητά. κτήματα καὶ βρώματα.
Ονητα. πέμματα.
Ονασθαι. ὀφελεῖσθαι. ἀπολαύειν.
Ονήσασθαι. ὠφεληθῆναι.
Ονθον. κόπρον κτηνῶν.
Ονοτάζων. ἐκφαυλίζων.
Ονείδη. Χλευάσματα. κατηγορίαι.
Ονείατα. βρώματα. τὰ ὄνεισιν παρέχοντα.
Ονειαρ. ὄφελος.
Ονειροπολεῖ. ὡς ἐν ὀνείρῳ βλέπει. ἢ τῷ ὕπνῳ φαντάζεται.
Ονησιφόρος. ὠφέλειαν φέρων.
Ονησις. ἀπόλαυσις. ὠφέλεια.
Ονομαστοί. περιβόητοι. ἔνδοξοι.
Οντως. ἀληθῶς. ἔστι δὲ τὸ ὄντως ἐπίρρημα.
Οντος. ὑπάρχοντος. τοῦτο δὲ ἐστὶ μετοχή.
Ονυχες. παρὰ τὸ ξέειν τὸ σῶμα.
Οξέως. ταχέως. σφοδρῶς.
Οξὺς. γοργὸς. δριμὺς. εὐκίνητος.
Οξυδερκής. ὀξέως βλέπων.
Οξύρροπον. ταχέως ῥέποντα. ταχέως μεταστρεπόμενον.
Οξύθεκτος. ὀξύτατος.
Οξυωπέστερον. ὀξύτερον βλέποντος.
Οπισθότονος. παρὰ τὸ ὀπίσθια τείνειν.

Ὀπαδὸς. δοῦλος. ἀκόλουθος.
Ὄου. ὕπνος.
Ὀπηνίκα. ὅτι ἡνίκα τότε.
Ὀπάζει. παρέχει.
Ὀπάονας. δούλους.
Ὄπασσον. ἀπόδος παρέχε.
Ὀπάσσω. χαρίσομαι.
Ὄπασις. δόσις.
Ὀπίλας. ὁ πλησίον.
Ὀπισότονος. ὅπερ λέγουσιν κύρτην.
Ὀπιζόμενος. ἐντρεπόμενος.
Ὀπις. ἡ ἐπιστροφή.
Ὀπὸς. πόσα σημαίνει. τὴν πυτίαν τὴν λεγομένην τά=
μισον. τὸ τῆς συκῆς γάλα. τὸ τῶν δένδρων δά=
κρυον. καὶ τὸ σακαμώνιν. τὸν κνῖκον.
Ὀπισθοφανὴς. εἰς τὰ ὀπίσω προσέχων.
Ὀπίω. βλέπω. καὶ ὄσσω βλέψω.
Ὀπή. κυρίως τόπος τετρημμένος. ἀφ' οὗ τις δύναται
ὀπήσασθαι καὶ περιβλέψαι.
Ὀπλή. ὁ κυκλοειδὴς ποῦς τῶν κτηνῶν. βοῶν. προβάτων
καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικροὺς ὄνυχας ἐν τοῖς
τῶν ὀπισθίων ποδῶν.
Ὀπόταν. ὅταν.
Ὄπα. τὴν φωνήν.

Ὀπωπή. πρόσοψις.

Ὀπωπαῖς. φωναῖς.

Ὀπλανόμενος. ὁρμώμενος.

Ὀπυιεῖ. γαμεῖ.

Ὀπώρα. παρὰ τὸ τῇ ὥρᾳ ἕπεσθαι. ἤγουν ἐπακολουθεῖν.

Ὄργανον. παρὰ τὸ ὀρέγω τὸ ἐπιθυμῶ ὀρέγανον. καὶ κατὰ συγκοπὴν ὄργανον. ἐκείνου γὰρ αὐλοῦντος πολλοὶ εἰς ἐπιθυμίαν κινοῦνται. ἢ ὄργανον τὸ ἐν ποικιλίᾳ συνηρμοσμένον.

Ὄπωπα. ἑώρακα. εἶδον.

Ὄπως. φανερῶς.

Ὀπωροφυλάκιον. λιθολόγιος τόπος. ἐφ᾽ ᾧ τὴν σκηνὴν ἔχει ὁ φυλάσσων παντοίαν ὀπώραν.

Ὀπωρινόν. τὸ ἐν τοῖς κήποις κρεμώμενον φόβητρον.

Ὅπως δήποτε. οἵῳ δηποτοῦν τρόπῳ.

Ὁρατικόν. γνωστικόν.

Ὀργυιά. τὸ μέτρον τῶν χειρῶν.

Ὄργια. τὰ ἱερὰ μυστήρια. παρὰ τὸ ὀρέγειν τὸ ἐπιθυμεῖν. προπαροξυτόνως. ὀξυτόνως δὲ τὸ μέτρον τῶν χειρῶν ἐξαπλούμενον ὀργία.

Ὀρέγει. παρέχει.

Ὀρέγεται. ἐπιθυμεῖ.

Ὀρεκτόν. ἐπιθυμητόν.

Ὀρέξας. ἐκτείνας. δεδωκώς.

Ορεος. τοῦ ὄρους.

Ορεὺς. ἡμίονος

Ορέστης. ὁ ἐν ὄρεσι τὴν δίαιταν ἔχων.

Ορεοκόσμος. ὁ τὰς ἡμιόνους τρέφων.

Ορίζει. ἵστησιν. ὅρον δίδωσι. κρίνει.

Ορθογόη. Χελιδὼν.

Ορκη. ὄψις.

Ορίνθη. ἐταράχθη.

Ορινον. ἐτάραξαν.

Ορινομένους. ταρασσομένους.

Ορκιον. σκῆπτρον. καθ᾽ ὃ ὤμνυον βασιλικὴν ῥάβδος.

Ορμος. λιμὴν.

Ορμος. σημαίνει β. τὸν λιμένα καὶ τὸ σφάλμα.

Ορμίσκοι. εἶδος κόσμου. ἢ παριδέραια. παριδέραια δέ ἐστι τὰ περιτραχήλια. ἤγουν μανιάκια περὶ τοὺς τραχήλους τιθέμενα.

Ορμὰς. κίνησις.

Ορμώμενος. προθυμούμενος. λέγεται δὲ καὶ ὁ γελεαλογούμενος.

Ορμαθὸς. στίχος φυτῶν κύκλος.

Ορμῶ. ἔρχομαι.

Ορμὴ. νεῦσις.

Ορνεον. διὰ τὸ τὰ ὄρη περιερχομένων.

Ορόδαμνος. κλάδος.
Ορρωδία. φόβος. ἢ θαῦμα.
Οριον. τέλος. πέρας.
Ορπηξ. κλάδος.
Ορόσυπος. ὁ ἐν ὄρη τὰ σύπη κόπτων. ἤγουν τὰ σελέχη.
Ορος. ὁ ὁρισμὸς. παρὰ τὸ εἴργω τὸ κωλύω. ὁ κωλύων καὶ διϊςῶν τὰ ἀλλότρια.
Ορὸς. ὁ ὑδατώδης ὑπόςασις.
Οpουσεν. ὥρμησεν.
Ορκος. παρὰ τὸ ἐπαρκεῖν καὶ βοηθεῖν. ὥσπερ γὰρ βοηθήματι αὐτῷ χρῶνται οἱ ἀδικούμενοι. κατὰ μετάθεσιν τοῦ α εἰς τὸ ο. ὡς ἐν τῷ κριόεις. παρὰ τὰς ἄκρας καὶ ἐξοχάς.
Ορσεο. διεγείρου.
Ορτάλιχος. ὁ ὁρμητικὸς.
Ορφανος. ἐκ πατρὸς ἢ ἐκ μητρὸς ἀποληφθεὶς.
Ορτυγομήτρα. παρὰ τὸ ὄρτυξ ὄρτυγος. τὸ δὲ ὄρτυξ παρὰ τὸ ὀρῶ τὸ διεγείρω.
Ορχος. κῆπος.
Ορῶ. τὸ βλέπω. τὸ νοῶ. τὸ φοβοῦμαι.
Ορυγμαδὸς. θόρυβος. τάραχος. κτύπος. ὁ ἐκ τοῦ πλήθους γινόμενος.
Ορφνη. σκοτία. νὺξ μέλαινα.
Ορχατος. σῖχος ἀμπελῶν ἢ ἑτέρων φυτῶν.
Ορχὰς. ἐλάφου εἶδος.

Ορχίδιον. μέρος σώματος.
Ορχός. ὅπου τίθεται τὸ φυτόν.
Οσσης. βλέψεις.
Ορωρε. πτθύμωται. διηγέρθη. ἦλθεν.
Οσσυπηρόν. ῥυπαρόν.
Ος. ὅσις.
Οσον ὅυπω. ταχύ. μετ' ὀλίγον.
Οσον ὅσον. ὀλίγον ολίγον.
Οσημέραι. πάντοτε. καθ' ἡμέραν.
Οσίως. πρεπόντως. δικαίως.
Οσιος. ἁγνός. ὁ τὰ θεμιτὰ πρὸς θεὸν πράσσων.
Οσφύς. ῥάχη. ψυά.
Οσία. ἀνακειμένη θεῷ. καθαρά.
Οστρεον. μυάκιον θαλάττιον.
Οσσε οἱ ὀφθαλμοί. παρὰ τὴν ἔπιν καὶ βολὴν τῆς ὄψεως.
Οσιος. ἐστιν ὁ ἐν αὐτὸν διὰ πίστεως καθοσιώσας καὶ ἀφιερώσας θεῷ.
Οσωπερ ἄν. ὅσον ἄν.
Οταν παίω. ὅταν τύπτω.
Οτιοῦν. τὸ τυχόν.
Οτλος. ὁ μόχθος. ἡ κακοπάθεια.
Οσημέραι. πάντοτε. καθ' ἡμέραν. ὅσαι ἡμέραι.
Οστέον. παρὰ τὸ τῆς στάσεως ἄιτιον εἶναι. τὸ δὲ θ πλεονάζει.

Οσφυὸ. ἡ ζώνη. κατὰ πλάτωνα. λέγεται δὲ καὶ ἡ ψυά. παρὰ τὸ φύειν τὰ παιδία. ἀπὸ τῆς καπιούσης ἐκεῖθεν γονῆς.

Οσφρησις. ἀέρος μετάληψις. διάκρισις ἀτμοῦ.

Οσφρησις. ἐκ τοῦ ὀσφραίνω. ἐξ οὗ καὶ ὄσφρα.

Οτρηρὸς. ὁ δι' ἑαυτοῦ παροξυνόμενος.

Οτευ οὖν. ὅυτινος δή.

Οσφιν. ὅσις.

Οτοτύζειν. βοᾶν.

Οτου δὲ δή. ὅυτινος δή.

Οτρηροί. ταχεῖς. ὀξύτατοι.

Οτρῦναι. παροξῦναι. παρασκευάσαι.

Οτι. σύνδεσμος.

Οτραλέως. ὀξέως. ἐνεργῶς.

Οτρηρὸς. ὁ γενναῖος. καὶ ἄφοβος.

Ουατα. ὦτα.

Ου. ἐπίρρημα ἀρνήσεως.

Οτῳ φίλον. ὅ τινί ἐστι φίλον. ᾧ ἀρέσκει.

Ουδὸς. βατηρ. βαθμὸς.

Ου ἀρᾶς γέμει. οὐ κατάρας πλήρης ἐστιν.

Ου γὰρ εἰκῆ. οὐ γὰρ ἁπλῶς ἢ ὡς ἔτυχεν.

Ουδαιέων. τῶν καταχθονίων δαιμόνων.

Ου διωσόμεθα. οὐκ ἀποβαλόμεθα. ἢ οὐκ ἀμφιβάλλωμεν.

Ουδὲν. ὄνομα οὐδέτερον.

Ου διάδηλοι. ἀφανεῖς.

Ου διεκρίθη. οὐκ ἀμφέβαλεν. οὐκ ἐδυσπίστησεν.

Ουδ᾽ ὥς. οὐδαμῶς δή.

Ουλαι. τρίχες.

Ου διήμαρτεν. οὐκ ἀπέτυχεν.

Ουδέτερον. οὐδὲ ἓν τῶν δύο.

Ουκ ἀπᾳδούσας. οὐκ ἀπρεπεῖς οὐκ ἀλλοτρίας.

Ουθατὰ. μαστοί.

Ου θέμις. οὐ δίκαιον.

Ου εἵνεκεν. οὗτινος χάριν. τούτου ἕνεκεν.

Ουθεν. οὐδέν.

Ουθεὶς. οὐδείς.

Ουκ ἀπεικὸς. οὐκ ἄτοπον. οὐ παρὰ τὸ πρέπον.

Ουκ ἀπώναντο. οὐκ ὠφελήθησαν.

Ουθήν μοι. οὐδαμῶς δή αὐτοί.

Ουκ ἦν. οὐχ ὑπῆρχεν.

Ουχὶ. οὐχί.

Ουλαμῶς. οὐ πολλὰ λαλῶν.

Ουκ ἄπω. οὐ πόῤῥω.

Ουκουν. οὐδαμῶς.

Ουκ οὖν. σύνδεσμος συλλογιστικός. σημαίνει δὲ ἀπόφα.

Οσπριον. καθ᾽ ὑπέρθεσιν τοῦ ο. σπόριον γάρ ἐστι καὶ ὄσπριον.

Ουλος. ὀλέθριος.

Ουκ ἀπόχρη. οὐκ ἀρκεῖ.

Ουκ ἐφίενται. οὐκ ἐπιθυμοῦσι.

Ουκ ἄμοιρος. οὐκ ἀμέτοχος. οὐκ ἐκτὸς.

Ουκ ἀπεοικὸς. οὐκ ἀπρεπὲς.

Ουκ εἴκουσαν. οὐχ ὑπεχώρησαν.

Ου καταμώμητος. οὐ καταψεκτὸς.

Ουκ ἀνεύθυνον. οὐ κατάκριτον.

Ουκ ἐπιτεύξεται. οὐκ ἐπιτύχει.

Ουκ ἔρρυξεν. οὐκ ἐφθέγξατο.

Ουκ ἀσυντελὴς. οὐκ ἀχρήσιμος.

Ουκ εὐθὺς σκόπου. οὐκ ἀκριβῶς. οὐ κατ᾽ εὐθείαν.

Ουκ ἐισμένισαν. οὐκ ἐχάρησαν.

Ουκ ἀνήσει. οὐκ ἀφήσει.

Ουκ ἔφατην. οὐκ εἶπον Δ[ι].

Ουκ ἐπιλήσομαι. οὐκ ἐπιλάθομαι.

Ουκ ᾤετο δεῖν. οὐκ ἐνόμιζε συμφέρειν.

Ουχ οἷόν τέ ἐστιν. οὐ δυνατὸν ὑπάρχει. οὐ συμφέρει.

Ουκ ἐτυλώθη. οὐκ ἐτραυματίσθη.

Ουλομένην. ὀλεθρίαν.

Ουλομένοις. ὀλεθίοις.

Ουκ ἔσφαλεν. οὐκ ἐκινδύνευσεν. οὐκ ἐξέτρωσεν.

Ουκ αἰδεσθεὶς. οὐκ αἰσχυνθεὶς.

Ουκ ἐνήνοχα. οὐκ ἤνεγκα.

Ου καπνάρκησα. οὐκ ἠμέλησα. οὐ καταβάρησα.

Οὐχ ἀγενής. οὐχ ἀνίσχυρος.
Οὐχ ἐξορχήσει. οὐ διαπρίσαι. οὐ δημοσιεύσει.
Οὐχ ἄσημον. οὐχ ἀφανοῦς.
Οὐχ ἀπαναίνεται. οὐχ ἀποστρέφεται. οὐ παραιτεῖται.
Οὐλαμός. τάξις στρατιωτική. θόρυβος.
Οὖλος. σημαίνει τὸν ὑγιῆ καὶ ὁλόκληρον.
Ουμήστ ἀνῶ. οὐμήστ ἐάσω.
Οὐλη. σημαίνει την κριθην και την τρίχα. οὐλὴ δὲ ὀξυτό-
νως. τὸ ὑγιασθὲν τραῦμα. καὶ φαινόμενον. καὶ οὖλον.
ἡ συνέχουσα τοὺς ὀδόντας σάρξ. καὶ οὖλον τὸ ἁπαλόν.
Οὐμὴ. προσῶμαι. οὐ παραχωρήσω. οὐ προδώσω.
Ολλῶ. ἀπολλῶ.
Οὐμενοῦν. οὐδαμῶς.
Οὐμὴν δέ. οὐδαμῶς δέ.
Οὐ μὴν ἀλλά. ἔτι γε μήν.
Οὕνεκα. σύνδεσμος αἰτιολογικός.
Οὔπω. ἐπίρρημα ἀρνήσεως. ἔστι δὲ οὐδαμῶς. οὐδέπω.
Οὐπεριέσται. οὐ περιγενήσεται.
Οὐ προσίεται. οὐ προσδέχεται. οὐχ ἀρέσκεται.
Οὐ παρέργως. οὐχ ὡς ἔτυχε. οὐ προήλαντο. οὐχ ἠθέλησαν.
οὐ προσήκαντο. οὐ προσεποιήσαντο.
Οὔποτε. οὐδέποτε. οὐχ ἄνποτε.
Οὐρανὸς. ὅτι ὁρᾶται νοερῶς. ἢ ὁ ρανὸς τουτέστιν ὁράσε-
νοῦ ἢ διὰ τὸ ὁρᾶσθαι ἄνω. ἡ ὅρασις ἄνω κειμένη.

παρὰ τὸ ὁρῶ τὸ βλέπω ὁρανὸς καὶ ἐν πλεονασμῷ τοῦ υ. οὐρανός. ὁ πᾶσιν ὁρώμενος. ἢ παρὰ τὸ ὁρῶ τὸ φυλάσσω.

Οὐραγίαν. στρατιὰν ὄπισθεν ἀκολουθοῦσαι.

Οὐρῆας. ἡμιόνους.

Οὔρεα. ὄρεα.

Οὖρος. τὸ τοῦ ἀνθρώπου. καὶ ὁ ἄνεμος.

Οὐσία. πλοῦτος. ὕπαρξις.

Οὐσιώδης. ὁ ὢν ἀεὶ κατ᾽ οὐσίαν.

Οὐσία. ἐστὶν αὐθυπόστατον πρᾶγμα μηδενὸς ἑτέρου δεόμενον πρὸς σύστασιν. αὐθυπόστατον δὲ λέγεται ὅτι καθ᾽ ἑαυτὸ καὶ οὐ δι᾽ ἄλλο ἐστίν. οὔτι ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. τουτέστιν. ὃ μὴ δέεται ἄλλου ἔξωθεν αὐτοῦ εἰς τὸ εἶναι. οἷον τὸ σῶμα οὐσία λέγεται. ἐπειδὴ πρᾶγμα ὑπάρχον. αὐθυπόστατον. καὶ ἐν ἑαυτῷ καὶ οὐκ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. Οὐσία οὖν καὶ φύσις καὶ μορφὴ ταὐτόν ἐστι καὶ ἄτομον. καὶ πρόσωπον. καὶ ὑπόστασις ταὐτό ἐστιν.

Οὖς. διὰ τὸ τὴν ὄπα δι᾽ αὐτοῦ χωρεῖν.

Οὖρος. καὶ φρουρός. ὁ φύλαξ λέγεται.

Οὖσα. ὑπάρχουσα.

Οὔπιπου. οὐδαμῶς.

Ὀσσόμενος. προβλέπων. προσδοκῶν.

Οὑτινοσοῦν. οἱουδήποτε.

Ὄσσεις. βλέπεις.

Ὅτου χάριν. τίνος ἕνεκεν.
Ὄσσων. βλεφάρων ὀφθαλμῶν.
Οὕτω. ἐπίῤῥημα μεσότητος. χωρὶς τοῦ σ. ὅτε σύμφωνον ἐπι-
φέρεται.
Οὔτι. οὐδείς.
Οὗ. ὅπου.
Οὕτως. ὅτε ἐπιφέρηται φωνῆεν.
Οὗτος. δεικτικὸν ἀντωνυμία.
Οὑτωσί. οὕτω καὶ ὅδε διὰ τοῦ ι.
Οὐτῶ. τὸ ἔγγυθεν τῷ δόρατι βάλλω.
Οὐ φορητόν. οὐκ ἐλαφρόν. ἀβάστακτον.
Οὐτοιδανόσιστ. οὐδενὸς λόγου ἀξίων. ἀθενῶν.
Ὀφλήσω. ὑπομείνω.
Οὐτιδανῶς. μηδαμινός.
Οὐ χρεών. οὐ πρέπον.
Οὐχ ἥττους. οὐκ ἐλάττονας.
Οὐχ ἥκιστα. μάλιστα.
Οὐχ ἥκιστα. λίαν. πάνυ.
Ὁ χάριστε. πάνυ ἔνδωξε.
Οὐχ ἑκών. οὐ βουλόμενος.
Οὐχ οἷοί τε. οὐ δυνατοί.
Οὐχ οἷόν τε. οὐ δυνατόν.
Οὐχ οἴονται. οὐχ ὑπολαμβάνουσιν.
Οὐχ ὑπελείπω. οὐ κατέλειπας.
Οὐχ ὑποίσω. οὐχ ὑπενέγκω. οὐ βαστάσω.

Οὐχ ὑφίσαται. οὐχ ὑποφέρει. οὐχ ὑπομένει.
Ὀχλίζει. κινεῖ.
Οὐχ ἁπλῶς. οὐχ ὡς ἔτυχεν. οὐκ ἀκαίρως.
Οὐχ ὅπως. οὐχ ἵνα. οὐδαμῶς.
Ὀφέλλωσιν. αὐξάνωσιν.
Ὀφείλημα. δάνεισμα.
Ὄφελον. ἤθελον.
Ὀφειλή. χρέος. δάνος.
Ὀφθῇ. εὑρεθῇ. φανῇ.
Ὀφρύοντες. ὑπερήφανοι.
Ὀφλήμασι. χρεωστήμασι.
Ὀφθαλμὸς. ὅρασις θολουμένη τομῶς. ἤγουν χαλεπῶς. ἢ παρὰ τὸ ὦφθαι λίαν καὶ τομῶς.
Ὀφθαλμιάσαι. φθονέσαι. ἐπιβαλεῖν ἐπιθυμητικῶς τοὺς ὀφθαλμούς. ἢ τοὺς ὀφθαλμοὺς πάσχειν.
Ὄφρα. ὅπως. ἵνα. ἕως.
Ὀχέων. ἁρμάτων.
Ὀχθήσας. ἀγανακτήσας.
Ὄχλος. σημαίνει β. τὴν ὄχλησιν. καὶ ταραχήν. καὶ τὸ πλῆθος τοῦ λαοῦ.
Ὄχνη. εἶδος δένδρου κασάνου. κουσουμίου. μήλου. ἀπιδίου.
Ὀχμήσας. σημαίνει τὸ κρατήσας καὶ κόψας.
Ὀχμοί. παχύων φυτείαι.
Ὄχειον. ἅρμα.
Ὀχετὸς. σωλήν. ἀγωγός.

Ὀχεία. μίξις. συνουσία.
Ὀχετηγός. ὑδραγωγός.
Ὀχεῖος. χήλων.
Ὄχημα. ἅμαξα. ἅρμα. δίφρος.
Ὄχθοι. αἱ τραχεῖαι καὶ δύσβατοι πέτραι καὶ ἐξοχαί.
Ὄχθη. τὰ χείλη τῶν ποταμῶν.
Ὀχλαγωγῆσαι. θορυβῆσαι. ταράξαι.
Ὀχύρωμα κάστρον. ἀσφάλισμα. φρούριον.
Ὀχληρόν. θλιβερόν.
Οὐχ ὑπαχθείς. οὐ παθείς.
Οὐχάς. ἐξοχάς.
Ὀχεῖσθαι. ἡνιοχεῖσθαι.
Ὄψα. προσφάγια.
Ὀψαρτυτής. μάγειρος.
Ὀψέ. βραδέως.
Ὀψία. ἑσπέρα.
Ὀψέποτε. μετὰ χρόνον.
Ὄψον. πᾶν τὸ διὰ πυρὸς γινόμενον.
Ὀψιγενῆ. βραδέως γεννηθέντα ἢ ὕστερον. οἷον ὄψιμον.
Ὀψιάθην. ὤψισα.
Ὄψον. προσφάγιον.
Ὀψιμαθής. βραδυμαθής. λέγεται δὲ καὶ ὁ διὰ τῆς ὄψεως
τουτέστιν τῆς ὁρᾶς τὸν ἄνθρωπον μανθάνων.
Ὀχμάζει. μάχεται. ἢ βαστάζει.
Ὀψιγόνων. τῶν ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐσομένων.

Οψώνιον. διὰ τὸ ὄψον ἤγουν βρῶμα ὀνεῖσθαι.
Οψώνια. κέρδη. χαρίσματα.
Ο ὠκύμορος. ὁ ταχυθάνατος.
Ο ὠκύτατος. ὁ ταχύτατος.
Ο ὠμηστὴς. ὁ ὠμὰ κρέα ἐσθίων.
Ο ὤν. ὁ ζῶν. ὁ ἀεὶ ὑπάρχων. ὁ ἀεὶ ὤν. τουτέστι ὁ θεός.

## Αρχὴ τοῦ Π.

Παγκρατιαστὴς. ἀθλητής.
Πάγη δέ τις. παγὶς δέ τις.
Παγετῷ. ψύχει. κρυμῷ.
Πάγχυ. παντελῶς. λέγεται δὲ καὶ ἐπὶ τοῦ πάνυ.
Παγίως. βεβαίως. ἀσφαλῶς.
Πάγουροι. παρὰ τὸ οὐρεῖν. ὅ ἐστι φυλάττειν ἐν τοῖς πάγοις. πάγοι δέ εἰσι κρημνώδεις τόποι.
Παγιωθεῖσα. ἑδραιωθεῖσα. βεβαιωθεῖσα. πιστωθεῖσα.
Παιπανεία. ἡ κενοδοξία.
Παιδίον. ὅτι τοῦ πατρὸς ἴδιον.
Παιδίον. διὰ τὸ παιδείαν δέχεσθαι.
Παιδίσκος. θεράπων.
Παλιρρόθιον. τὸ εἰς τοὐπίσω φερόμενον κῦμα.
Παίει. τύπτει. κρούει.
Παιανίζει. ψάλλει.

Πάζιον. λίθος ἀτίμητος ὑποχλωρίζων.
Παιᾶνας. κόμπους. ψαλμοὺς. εὐφημίας.
Παιδοτρίβας. ἀλείπτας. γυμναστὰς.
Παιδολέτειρα. παιδοφόρον.
Παιήονα. ὕμνον ᾠδὴν.
Παῖς δ' ἅμα. ὁ παῖς ἅμα.
Πάγος. ἡ πέτρα.
Πάγοι. πετρώδεις κρημνοί.
Παίονας. ἔθνος οὕτω λεγόμενον.
Παίωνας. ἰατρούς.
Παστὸς. ὁ νυμφικός.
Παιώνιον. ἰατρεῖον.
Παλύναι. λευκᾶναι.
Παιώνιον. θεραπευτήριον.
Παιδεία. ἡ παίδευσις.
Παιπάλη. ἄλευρον κριθῶν. ἢ ἀπὸ κέγχρου.
Παιδίσκη. καὶ θεράπαινα διαφέρουσι. παιδίσκη μὲν γὰρ ἐστὶ πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν ὡς παιδίσκαος θεράπαινα δὲ ἡ δούλη.
Παιδιά. τὸ παίγνιον.
Παλος. ὁ κλῆρος.
Παίωνες. ἀλαλαγμοὶ ἐν πολέμῳ. ἢ ἰατροί.
Παιώνιον, φάρμακον. καταπαῦον ὀδύνας.
Παλλίον. ἀμπεχόνιον. τὸ λεπτὸν ἱμάτιον.

Πάλιν. ἐπίῤῥημα. σημαίνει δὲ τὸ ἐκ δευτέρου. τὸ ἐξ ἐναντίας. τὸ εἰς τοὔπισω. καὶ τὸ πολλάκις.

Παλαιός. ἀρχαῖος. παλαῖος δὲ ὁ ἄφρων. τίθεται καὶ ἐπὶ τοῦ σκώπτοντος.

Παίονες. κεκάρες. ἀγκυλότοξοι.

Παιῶνος. ὕμνου.

Παλινοστήσας. ἐκ τοῦ πάλιν μεταστροφὴν δηλοῖ.

Παλαιστὰς. τὰς σπιθαμὰς λέγει.

Παλινῳδίαν. ᾠδὴν τῇ προτέρᾳ ἐναντίαν. ἢ δόγμα ἀνόμοιον τοῖς πρώτοις.

Παλιλογία. ταυτολογία.

Παλινδρομεῖ. ὑποστρέφει πρὸς τὴν ἀφετηρίαν.

Πάλαι. ποτὲ ἀρχῆθεν.

Πάλλοντα. πηδῶντα. κινοῦντα. σφύζοντα.

Παλίῤῥοια. ἡ ῥοή.

Παλίμβολος. ἀκατάλληλος. ἀνάρμοστος. εὐμετάτρεπτος.

Παλάθαι. μάζαι συκῶν.

Παλαίτατος. παλαιὸς ἀρχαῖος.

Παλαιτέρων. παλαιοτέρων ἱστοριῶν.

Παλαμναῖος. φονεύς. ἀντίθετος θεῷ. μεμιαμμένος.

Παλιμφήμους. βλασφήμους.

Παλαιόν. ἀρχαῖον. λέγει καὶ τὸ παλαιῶ.

Παλάμη. ἡ χείρ. παρὰ τὸ ἄλλεσθαι. ἢ ἀπὸ τοῦ δι᾽ αὐτῆς τὰς μηχάνας ἐργάζεσθαι.

Παλινδικεῖ. ἐπισυνάπτει δίκην.
Παιωνία. εἶδος βοτάνης.
Παιφάσσειν. τὰ φάνη παντὶ περιάγειν.
Παλλακίς. ἡ νέα καθ' ἡλικίαν.
Παναρεστάτων. καθαρωτάτων.
Παλιμπετής. ὀπισθόρμητος.
Παγκάλης. ἐξ ὅλου καλός.
Πάμπαν. παντελῶς. ὁμοίως ὄντως.
Πάμφορος. πάντα φέρουσα. εὔκαρπος.
Παμμήστορα. πάντων τεχνίτην.
Παλιγγενεσία. τὸ ἐκ δευτέρου γεννηθῆναι. ἢ ἀνακαινισθῆναι.
Παμπόνηρος. παλυκάστος.
Παμφαοῦς. φαιδροτάτης. πάντα φωτιζούσης.
Πανσελήνου. πέντε καὶ δεκαταίας.
Πανδήμου. δημοσίας κοινῆς.
Παναρμόνιον. ἐξ ὅλου τεταγμένον. ἁρμονία γὰρ εὔτακτος ἀκολουθία.
Παντοδαπῶν. παντοίων καὶ διαφόρων.
Πάντοσε. πανταχοῦ.
Πάνιον. ὄρος.
Πανδημεί. σὺν παντὶ τῷ δήμῳ.
Πανοῦργος. ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος. καὶ πάντα ἐπιστάμενος. πόσα σημαίνει πανοῦργος. β. τὸν φρόνιμον καὶ νοήμο

να ἔχει καλοῖς. σημαίνει δὲ καὶ τὸν κακοποιεῖν δυνάμενον. διὰ τῆς αὐτοῦ κακίας καὶ σοφίας.

Πανσθενέστατος. ἰσχυρότατος.

Παμπήδην. παντελῶς.

Πανήγυρις. παρὰ τὴν ἄγυριν. ἥτις ἐστιν συνάθροισις. εἰς ἣν πάντες ἀγείρονται. ἤγουν ἀθροίζονται.

Παντευχία. πανοπλία.

Πανσαγία. πανοπλία.

Πάντας. ἐκ τοῦ πᾶς. σημαίνει β. τό τε προσηγορικὸν καὶ τὸ ἐπίθετον. προσηγορικὸν οὖν ἐστι δηλοῦν τὸν πατέρα. οὗ κατὰ ἀναδιπλασιασμὸν πάππας. τοῦτο οἱ μὲν ῥωμαῖοι βαρυτόνως λέγουσιν. ἡμεῖς δὲ περισπωμένως.

Παπταίνειν. σημαίνει τὸ βλέπειν καὶ περισκοπεῖν τῇδε κακεῖσε.

Πανώλης. πανόλεθρος. ἐξώλης.

Πανδαισίας. πολυτελοῦς εὐωχίας ἢ τραπέζης.

Παναλκές. πᾶν ἰσχυρόν.

Πάππας. παρὰ ἀττικοῖς λέγεται ὁ πατήρ.

Παππας. φίλος εἴρηκεν ὅμηρος. οὕτω δὲ ἐλέγετο παρὰ συρακουσίοις ὁ πατήρ. πᾶς. καὶ κατὰ ἀναδιπλασιασμὸν παπᾶς. καὶ πλεονασμῷ τοῦ π πάππας. τουτέστι φίλος.

Πάνιον. ὄρος.

Πανομφαίῳ. ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφέρεται.

Πανοβλίῳ. παμπλούτῳ.
Πᾶν ὁπουοῦν ὅσον δήποτ' οὖν. πᾶν τὸ τυχόν. κατὰ πάντα λόγον καὶ τρόπον παντός.
Πανοικὶ. σὺν ὅλῳ τῷ οἴκῳ.
Παπυλεώνος. τένδας.
Πατρώαθεν. ὁ ἐξ ὁμόμορφον. πατρὶ ὁμοδύναμον. καὶ σύμμορφον
Παραπετασμάτιον. καλυμμάτιον.
Πανύσατον. πάντων ἔσχατον. καὶ τελευταῖον.
Πανημέριος. δι' ὅλης τῆς ἡμέρας.
Παναγής. καθαρός.
Παναγνός. ὅλος καθαρός.
Παντάπασι. παντελῶς. ὅλως.
Παρα σφῶν. παρ' αὐτῶν.
Πανταρκής. ὁ πᾶσιν ἀρκῶν καὶ βοηθῶν.
Παρημμένας. παραλελυμένας. ἢ καὶ παρῳχημένας οἱονεὶ παρελθούσας. πάρεσις γὰρ ἡ παράλυσις.
Παράδειγμα. ἐστὶν δεῖξις πιστουμένη τὸ μερικὸν. διὰ μερικοῦ καὶ ὁμοίου.
Πάρει. ἦλθες. παρεγένου.
Παροινία. ἡ ἐκ τοῦ οἴνου ὕβρις καὶ ἀταξία. λέγεται δὲ καὶ παντοία ἁμαρτία.
Παραθήγειν. παροξύνειν. ἀκονᾶν.
Παρακλήδην. παραβολικῶς.
Παρεμβολή. τὸ στρατόπεδον.

Παράδεισος. πρώτη δρόσος. ἢ διάδροσος. ἢ παρὰ τὴν ὑγρασίαν. δεῖσα γὰρ ἡ ὑγρασία. παράδεισος δὲ κυρίως λέγεται τόπος ἔνυδρος καὶ ἔνδενδρος ἐν ᾧ τις περιπατεῖ. λέγεται δὲ καὶ ἡ τοῦ βασιλέως κατάλυσις.

Παραίφασις. συμβουλή. παραίνεσις.

Παραβάται. οἱ ἐπὶ τῶν δίφρων ἢ ἁρμάτων ἑστῶτες.

Παρατατικός. ὁ παρεκτείνων χρόνος.

Παραπλήξ. παράφρων. βεβλαμμένος τὰς φρένας.

Παράφορος. ὁ παρ' ἑαυτοῦ καὶ ὑπὸ δαίμονος φερόμενος.

Παρευδοκιμησάσης. ἤτοι εἰς δόξαν ὑπερβάσης ἢ νικησάσης.

Παρῆκεν. εἴασεν. ἀφῆκεν.

Παρατηρημάτων. ἐπιτηρήσεων. κληδονισμῶν τε καὶ ἀπαντήσεων. καὶ οἰωνοσκοπικῶν. καὶ μαντικῶν.

Παρωθεῖσας. ἀπώσας. ἀποβαλόμενος.

Παρίημι. ἐῶ καταλιμπάνω καὶ ἀφίω.

Πάρεστιν. ἔφεστιν. συγχώρησιν.

Παρὰ σφίσιν. παρ' αὐτοῖς.

Παραχαράκτης. διαστροφεύς. παρὰ τὸ τῆς τῶν ἐντεθέντων ὅρων ἢ νόμων.

Πάρεξ. χωρίς. ἐκτός.

Παμπήδην. παντελῶς. ὁλοχερῶς.

Παμμεδέοντος. παμβασιλεύοντος.

Παρεισκρίνει. παρεισέρχεται. παρεισβάλλει.
Παρεγγυᾶ. παραγγέλλει. παραδίδωσι.
Πάροινος. μέθυσος. ἔκλυτος.
Παραυτῶ. εὐθέως. συντόμως.
Παρορμᾶ. παροξύνει. προτρέπεται. διεγείρει.
Παρεῖθη. εἰάθη.
Παραλογισῆς. ἀπατεών.
Παράδοξον. ὁ παρὰ δόκησιν γενόμενος. ἢ λεγόμενος θαυ=
μαςός.
Παρεὶς. ἐάσας. καταλιπών.
Παραθέει. παρατρέχει.
Παραμείψας. παραδραμών. παρελθών.
Παρειά. ἡ σιαγών.
Παρέσο. ἐλθε.
Παραπλήσιον. λέξις σύνθετος ἐκ τῆς παρὰ προθέσεως καὶ
τὸ πλησίον. γίνεται παραπλήσιον. καὶ σημαίνει τὸ
ἐμφερὲς καὶ ὅμοιον. ὁ ἐγγὺς τοῦ ὁμοίου καὶ ἴσου.
Παράλληλον. ἀκόλουθον. ὅμοιον.
Παράφρων. ἀνόητος.
Παράβυςον. ἀποκεκρυμμένον λαθραῖον. ἀπόκρυφον τόπον.
Παραπαίοντας. ληροῦντας. παραφοροῦντας.
Παρώτρυνον. παρώξυνον.
Παραπλῆγα. μαινόμενον. ἔκφρονα.
Παρωθοῦντες. ἐκβάλλοντες.

Παρῆκεν. ἀφῆκεν.

Παραφρονῶν. ἀνοητέρων.

Παρεγγράπτους. νόθους.

Παρείας. εἶδος ὄφεως.

Παρειμένως. καταφρονητικῶς. ἐκλύτως. παραλελυμένως.

Παράλλαξον. πάρελθε.

Παρατέθηγμαι. ἠκόνημαι. παρωξύνθην.

Παρασπονδήσας. παραβὰς τὰς συνθήκας.

Παρεισάκτους. ἀλλοτρίους. νόθους.

Παρεθέντος. ἐκλυθέντος.

Παροιαθέντι. παρενεχθέντι.

Παροιμία. λόγος ὠφέλιμος. καταχρηστικῶς δὲ πᾶν παρόδιακὸν διήγημα. οἶμος γὰρ ἡ ὁδὸς. καὶ ἄλλως. λέγεται δὲ παροιμία διὰ τὸ μὴ φανερῶς κηρύττειν ὃ βούλεται. ἀλλὰ συνεσκιασμένως. ἔστι δὲ παροιμία καὶ λόγος ἀπόκρυφος δι' ἑτέρου προδήλου σημαινόμενος.

Παρηγμένας. παρελθούσας.

Παράσημα. τεράστια.

Παρῆκαν. ἀντὶ τοῦ ἐπλήρωσαν.

Παραμαρτοῦντες. παρακολουθοῦντες. ἢ συντυχόντες.

Παραβολή. ἔστιν αἰνιγματώδης λόγος. ἤγουν ζήτημα ἐμφαῖνόν τι. οὐκ αὐτόθεν δὲ δηλωτικὸν ὂν ἀπὸ τῶν ῥημάτων. ἀλλ' ἔχοντος ἐγκεκρυμμένην διάνοιαν. ὡς τὸ προβληθὲν. πρόβλημα παρὰ τοῦ σαμψών.

ἐκ τοῦ ἐσθίοντος ἐξῆλθε βρῶσις καὶ ἀπὸ ἰσχυροῦ ἐξῆλθεν γλυκύ. καὶ σολομῶν. τοῦ νοῆσαι παραβολὴν καὶ σκοτεινὸν λόγον. λέγεται παραβολὴ ἡ ὁμοίωσις. ὡς λέγει ὁ κύριος. ὁμοία ἐστὶ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα. λέγεται παραβολὴ καὶ ἡ τροπολογία. ὡς ἐν τῷ Ἰεζεκιὴλ γέγραπται. υἱὲ ἀνθρώπου εἶπον αὐτοῖς. τὴν παραβολὴν ταύτην. ὁ ἀετὸς ὁ μεγαλοπτέρυγος ἀετὸν λέγεται τὸν βασιλέα. παραβολὴ λέγεται καὶ ὁ τύπος καὶ εἰκών. ὡς καὶ ὁ Παῦλος ἔφη. πίστει προσενήνοχεν ἀβραὰμ τὸν ἰσαάκ. καὶ ἐπάγει ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο. τουτέστιν ἐν τύπῳ καὶ εἰκόνι. καὶ ἄλλως. Παραβολὴ ἐστὶ λόγος παραβάλλων τὰ νοητὰ τοῖς αἰσθητοῖς. καὶ παριστῶν ἐκ τῶν ἐγκοσμίων καὶ ὁρατῶν. τὰ ὑπερκόσμια καὶ ἀόρατα.

Παρειμένους. παραλυμένους.

Παρθενοπίπας. ὁ τὰς παρθένους περιβλεπόμενος.

Παρὰ λαπάρην. παρὰ λαγόνα.

Παρῶπται. παρεωρᾶται

Παρά. διά.

Παρεζόμενος. παρακαθεζόμενος.

Παράσημος. ἀδόκιμος.

Παρ' οὐδέν. εἰς οὐδέν.

Παρεμβολή. στρατόπεδον.

Παρεσόμενον. παρεῖναι μέλλον.

Παροδικῶς. παροδοχρώμενος.

Παραβληθησόμενος. συγκριθησόμενος. ὁμοιωθησόμενος.
Πάρεσμεν. ἰστάμεθα ἢ ἐσμέν.
Παράκοιτις. παλλακὴ γαμετή.
Παρατάσσεται. πάσῃ δυνάμει πολεμεῖ.
Παραλογισμός. ἀπάτη λογισμοῦ.
Παραπέτασμα. παρακάλυμμα.
Παρεγγυᾶται. λέγει. διδάσκει. ἐντέλλεται. παραινεῖ. ἀγγέλλει.
Παρισθμία. τὰ περὶ τὸν φάρυγγα. ἰσθμὸς γάρ ἐστιν ὁ στενὸς τόπος.
Πάρη. ἔλθῃ.
Παρατροπαί. μεταβολαί.
Παρολκή. ὑπέρθεσις.
Παραυτά. εὐθέως. παραχρῆμα. αὐτίκα.
Παραψυχήν. παραμυθίαν.
Πάρδαλις. παρὰ τὸ ὀξέως τρέχειν. ἢ διὰ τὸ εἶναι ποικίλην.
Παραχρῆται. πολύς. σφοδρῶς. καὶ ὑπὲρ τὴν χρείαν χρᾶται τοῖς πράγμασι. εἴτε γυναιξί. εἴτε τοῖς λοιποῖς.
Παρῳχηκότων. παρελθόντων.
Πάρεισι. παρίστανται. παραγεγόνασιν.
Παρακεκλησμένοι. παρακληθέντες.
Παρήσομεν. ἐάσομεν.

Παρώτινον. πλάτυνον.

Παρασυνεβλήθημεν. ὁμοιώθη.

Παρειμένον. παραλελυμένον.

Παραρυεῖς. παραπέσεις. ἢ παρασυρεῖς.

Παράδοξον. ἀπροσδόκητον. θαυμαστόν.

Πάρεδρον. παρακαθήμενον. παραμένοντα.

Πάραπαν. παντελῶς. καθόλου.

Παραῤῥύματα. σκεπάσματα.

Παραῤῥυῶμεν. ἐκπέσωμεν.

Παραβαλεῖς. παραθήσεις. παραδώσεις.

Παροιστρῶσαι. ἐξεστηκυῖαι θυμῷ.

Παράλιος. θαλάσσιος.

Παρεωραμένα. καταφρονηθῆσα.

Παράσιτος. κοσσοτράπεζος.

Παροχετεύει. ὅταν ὑπὸ ἑτέρου ὑδρηγοῦ εἰς ἕτερον ἐμβάλλει τὸ ὕδωρ.

Παῤῥησία. ἐξουσία ἄδεια.

Παριππεύει. παρατρέχει. ἀφιεῖ τὴν τάξιν καὶ ἑτέρωθι ὁδεύει.

Παρώνυμον. ἐκ τοῦ συμβεβηκότος καλούμενον.

Παρώλισθεν. ὠλίσθησεν. ἐξέπεσεν.

Παρασάγγας. εἶδος μέτρου περσικοῦ ὅ ἐστι στα ΔΔ λ. ὁ δὲ σταθμὸς ἔχει μίλια χη̄. κατὰ ἡρόδοτον καὶ ξενοφῶντα.

Παραγράφεται. ἐξουθενεῖ.
Παραιτεῖται. ἀποβάλλεται.
Παρὰ θῖνα. παρ' αἰγιαλόν.
Παρειά. σιαγών. καὶ μέρος τῆς νηώς.
Παρακεκομμένος. μαινόμενος. ἐξεστηκώς. παράφρων.
Παραβάλλει. παρομοιοῖ.
Παρεοικώς. ὅμοιος.
Πάροικος. ξένος. παρεπίδημος. πρὸς βραχὺ οἰκῶν.
Παρατρύζει. παραφωνεῖ. εἴληπται δὲ ἐπὶ τῶν ὀρέων ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνοῦσιν.
Παρακρατοῦντες. παραθρασύνοντες. παρορμῶντες.
Παρακελεύεται. προτρέπεται. διεγείρου.
Παραθήκη. καὶ παρακαταθήκη. σημαίνει τὸν ἐνέχυρον.
Παχηπιᾶ. πάχυν θέλει.
Παραζηλῶν. παροξύνων.
Παστοφορεῖον. οἶκος ἔνθα ὁ νυμφίος.
Πασάτο. ῥάτω.
Πασσυδεῖ. πανστρατιᾶ. σὺν παντὶ τῷ πλήθει.
Πάσασθαι. γεύσασθαι.
Παστάδα. παστὸν νυμφῶνα.
Πάσσαλος. ξύλον ἐπιμηκὲς ἐμπηγνύμενον πρὸς τῇ γῇ πρὸς τὸ κρατεῖν τὴν πένδαν. ἢ πρὸς τὸ κρεμᾶσαί τι.
Πάτος. ὁδὸς ἢ συντυχία.

Πάταγος. ψόφος.
Πατρακούστης. ὁ τοῦ πατρὸς ἀκούσας.
Πατρίκιος. οἱονεὶ πατὴρ τοῦ κοινοῦ.
Πατρολοίας. ὁ τὸν πατέρα ἀτιμάζων. καὶ μητραλοίας ὁ τὴν μητέρα.
Παῦρος. ἀσθενής.
Πατρίδα γαῖαν. πατρώαν γῆν. πατρῷον ἔδαφος.
Πατριαί. φυλαί. χῶραι τοπαρχίαι.
Παυσωλή. ἡ κατάπαυσις.
Παῦλαν. ἀνάπαυσιν. ἔνδοσιν.
Παῦρα. ὀλίγα. εὐαρίθμητα.
Παυρότεροι. ὀλιγότεροι.
Παφλάζων. καχλάζων. ἀναζέων. ἀναβράζων.
Παφλάζων. καὶ καχλάζων διαφέρει. παφλάζων μὲν ἐπὶ πυρός. καχλάζων δὲ ἐπὶ κακάβου.
Πάχνη. παρὰ τὴν πῆξιν πάγνη τις οὖσα. ἔστι δὲ ἄνεμος ψυχρὸς παγώδης.
Πάχνη. ἀνθρακιά πυρός.
Παχύνοι. παχιόνεις.
Πέδον. γῆ. ἔδαφος.
Πέδιλα. ὑποδήματα.
Πεδίον. γῆ. κάμπος.
Πεδία. χῶρα.

Πείρω. διάφορα σημαίνει. πειρω το σουβλίζω καὶ κεντῶ ἐξ οὗ καὶ πεῖρος καὶ πεῖροι. καὶ πειρία. πείρω τὸ τελειῶ ἐξ οὗ καὶ πέρας τὸ τέλος. πείρω τὸ περῶ ἐξ οὗ καὶ πόρος. καὶ πέραμα. πείρω δὲ ῥῆμα περισπώμενον σημαίνει πειρῶ τὸ δοκιμάζω. ἐξ οὗ καὶ πεῖρα ἡ δοκιμή. πείρω τὸ μεθοδεύω. ἐξ οὗ καὶ πεῖρα ἡ τέχνη. πείρω τὸ γινώσκω ἐξ οὗ καὶ πεῖρα ἡ γνῶσις. πείρω τὸ πειράζω. ἐξ οὗ καὶ πειρατὴς ὁ ἐν θαλάσσῃ λῃστεύων καὶ πειρασμός. πειρῶ τὸ διαφθείρω. ἐξ οὗ καὶ πεῖρα ἡ φθορά. πείρω τὸ σπουδάζω. ἐξ οὗ καὶ πεῖρα ἡ βουλή. καὶ πειρῶ τὸ ἐκτυφλῶ.

Πέδας. δεσμούς. παρὰ τὸ πέζειν.

Πεδινός. τόπος ὁμαλός.

Πέζη. ἡ πεζεύουσα. καὶ πέζη τὸ ἱμάτιον.

Πεδῆται. πεπεδημένοι. συνδεδεμένοι.

Πεῖσμα. σχοινίον τὸ πρυμνήσιον ᾧ πείθεται ἡ ναῦς

Πείθω. τὸ καταπείθω. ἐξ οὗ καὶ πεῖσμα. πείθω τὸ ἐλπίζω ἐξ οὗ καὶ πίστις ἀμφότερα διὰ διφθόγγου. πήθω δὲ τὸ πανθάνω ἐξ οὗ καὶ πήσασθαι διὰ τοῦ η.

Πείνη. καὶ πεῖνα ὁ λιμὸς τοῦ ἄρτου.

Πείρινθος. σημαίνει τὸ τετράγωνον τὸ τιθέμενον ἐπάνω τῆς ἁμάξης.

Πειραιεύς. λιμήν.

Πειρασμός. παρὰ τὸ πειράζω ὃ σημαίνει καταλαμβάνω

Πείσεται. παθεῖ. ὑποστήσεται.

Πειθέο. πείθου.

Πείραζε. ἐπιβάλλου.

Πειθήνιοι. εὐπειθεῖς. ὑπήκοοι.

Πειρατὴς. ὁ εἰς θάλασσαν λῃστεύων.

Πειρατῶν. καταποντικῶν. κατὰ θάλασσαν λῃστῶν.

Πειθοῖ. πεισμόνη πίστις.

Πέλμα. παρὰ τὸ πλεῖσθαι τοῦ ἄλλου σώματος πλέον ἢ παρὰ τὸ πέλας ἀεὶ καθεστάναι τῷ πέδῳ.

Πέλω. ὑπάρχω.

Πελάζειν. πλησιάζειν. ἐγγίζειν.

Πέλται. τοξόται.

Πέλωρον. μέγα.

Πελιδνόν. μέλαν.

Πέλιοι. μέλανες. ὠχροί.

Πελίαι. περιστεραί. λέγονται καὶ μάντειαι.

Πέλαγος. παρὰ τὸ πέλω τὸ ὑπάρχω. καὶ τὸ ἄγος ὃ σημαίνει τὴν ἔκπληξιν καὶ τὸ ἄπειρον βάθους τοῦ ὕδατος.

Πέλας. γείτων. πλησίον ἐγγύς.

Πέλαγος. τὸ μὴ πέλας τῆς γῆς ὄν.

Πελίωμα. τὸ μελανὸν χρῶμα.

Πέμματα. πλακούντια.

Πέμπελος. ἡ γραῦς.

Πέπειροι. ἡψήμενοι. ἢ ὀπτήσαντες. κυρίως δὲ ἀπὸ ὀπώρας λέγεται ὅταν ἀκμάσῃ.

Πεντήρης. πενταετής.
Πεσσοὶ. ταβλία.
Πέπηρον. ἀκμαῖον. ὥριμον.
Πεπαροινηκῶς. ἀτάκτως. ὑβρίσας.
Πεπιλημένος. συνεσφιγμένος.
Πεπερασμένος. πεπληρωμένος.
Πεπαινόμενον. ὥριμον.
Πέπονες. μαλακοὶ. εὔκολοι. ἀσθενεῖς. ἔκλυτοι.
Πεπληγὼς. πλήξας.
Πεπύσμεθα. ἀκηκόαμεν.
Πέποισαι. συνετὸς εἶ.
Περαίνεις. ποιεῖς.
Πεπαρμένος. πεπερονημένος. τετρυπημένος.
Πέπλον. γυναικεῖον ἱμάτιον μαφόριον.
Πέποιθεν. ἐλπίζει. θαρρεῖ. πιστεύει.
Πεπορπημένος. τῇ βίβλῳ ἢ τῇ περόνῃ συνεχόμενον.
Πεποδήρημαι. ἐσυνηρήθην.
Πέπλαται. ἔπλωτα.
Πέπομφα. ἔπεμψα.
Πέπονθα. ἔπαθον.
Πέλλας. ξύλινα ἀγγεῖα ποιμενικά.
Πεπάλη. τὸ λεπτὸν τοῦ ἀλεύρου.
Πεποιωμένον. ποιότητα ἔχον ἤγουν γεῦσιν.

Πεπρωμένον. ὁρισμένον. εἱμαρμένον. ὅπερ λέγεται τυχερόν.

Πεπρωμένην. εἱμαρμένη τύχη γένεσις.

Περινοεῖ. περίσσως νοεῖ.

Περάνας. πληρώσας.

Περιπέτεια. σύμπτωμα. ἢ σύμβασις.

Περιέσαι. νικήσει. περιγενήσεται. ἢ ὑπάρξει.

Περίη. ἐνίκα. περιεγένετο. ὑπῆρχε.

Περαιτέρω. πλέον πάνυ.

Περιτευξόμενος. περιτυχὼν. μέλλων.

Περόνη. παρὰ τὸ πείρειν τὸ περᾶν.

Πέρδιξ. παρόσον περισσῶς ᾄδει. ἐν τῷ γὰρ ἀπόλλειν τὰ ἴδια ἔγγονα ᾄδει καὶ ταῦτα συνάγει. ῥωμαΐσι γὰρ πέρδειν τὸ ἀπόλλειν λέγεται. τὸ δὲ δίκιν λέγειν.

Περιπέρια. ἡ κενοδοξία.

Περίεργον. περιττόν.

Περιωπὴν. ὅθεν ἐστὶν ὁρᾶν.

Περιστερά. διὰ τὸ πέτασθαι στερρῶς. ἢ διὰ τὸ πέτασθαι ῥᾷον. ἢ διὰ τὸ περισπαστικὸν τοῦ ἐρᾶσθαι. ἢ αἱρεῖσθαι τὰ νοσσία ἑαυτῆς.

Περιπολεῖν. περιέρχεσθαι. κυκλεύειν.

Περιεκτικόν. γενικὸν τὸ καθόλου πάντα περιλαμβάνον ἢ κατέχον.

Περισαίνοντες. κολακεύοντες. ὡς ἐπὶ τῶν κυνῶν. ὅταν τὴν οὐρὰν σαίνουσι τοῖς κυρίοις. τουτέστι σείουσι.

Περιπαθῶς. συμπαθῶς.

Περιαυτίζεται. περὶ ἑαυτοῦ μεγαλοφρονεῖ. ἢ ἐν τῇ αὐτῇ λέγει ἐνδιατρίβει

Περινοσεῖ. περιοδεύει. περιέρχεται.

Περίοπτον. περίβλεπτον.

Περιστέλλει. περισκεπάζει. περικοσμεῖ. φροντίδος ἀξιοῖ.

Περίοπτον. μέγα ὑψηλόν.

Περίοδος. κύκλος.

Περιαθρεῖν. περισκοπεῖν.

Περιέπτων. περιφυλάττων.

Περιεπτισμένον. περιεξεσμένον. περικεκαθαρμένον.

Περιφυής. περιπλακής.

Περιόντα. περιερχόμενον.

Περιφραστικῶς. ἐκ περιόδου.

Περιπετείας. περιβατῆς πορεύσεως.

Περιφορά. ἡ κατὰ κύκλον κίνησις. ἢ ἡ τῶν τεσσάρων τροπῶν μεταβολή.

Περιφοιτῶν. περιερχόμενος.

Πέρα. πλέον. ὑπερβολικῶς ὅτι παροξυτόνως λέγεται.

Περόνη. ἡ φίβλη.

Περᾷ. περισπωμένως. διαβαίνει.

Περαίνων. ἀποτελῶν.

Περσία. ἡ χώρα ὀνόμασαι ἀπὸ πέρσεως βασιλεύσαντος. ἐν αὐτῇ.

Πένης καὶ πτωχὸς διαφέρουσι. πένης μὲν ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν πορίζόμενος τὴν χρείαν. πτωχὸς δὲ ὁ δι' ἔνδειαν τροφῆς προσαιτῶν. ὁ τὸ ἔχειν ἐκπεπτωκώς.

Περιορισθῆναι. περιληφθῆναι. ἐξορισθῆναι.

Περιηχήθην. περιεψιθυρίσθην.

Περιωπή. ἀκρώρεια. τόπος ὑψηλός.

Περιεσόμεθα. περιγενησόμεθα.

Περιτροπεῖ. περιτροπολογεῖ.

Πέσκον. δέρμα.

Περὶ πολλοῦ ποιοῦ. τίμα θεράπευε.

Περιτευξοίμεθα. περιτύχοιμεν.

Περισκέλη. φιμινάλια. βρακία.

Περιελόμενος. περιεπάρας. ἀφελόμενος.

Περιόψεται. παρίδοι. καταφρονήσει.

Περιχεών. καταχεών. παραλαβών.

Περιεῖπεν. ἐτήρει.

Περιδέρεα. περιτραχήλια.

Πετρετέρω. πλέω ἐμπλεύσθεν. μετὰ τὸ τέλος ἄλλον.

Περκάζει. πεπαίνει. μελαίνεται.

Πέρπερος. προπετής. ἐπιχαρής. φλύαρος.

Πέρυσι. ἐπὶ τοῦ παρελθόντος.

Περίκλυτον. πλούσιον. πολυτελῆ.

Περικεφαλαία. κράνος καὶ κασσίς.

Περιεσβυμένη. ἐστηχῇ. παρίσως.

Περιοχή. περιπάτεια. ὑπόθεσις. ἢ θλίψεις. ἢ συνοχή.

Περιφέρεια. κύκλος.

Περίνοια. μηχανή. τέχνη.

Περίψημα. καταπάτημα. ὑπὸ τὰ ἴχνα τῶν ποδῶν.

Πέρας. τέλος.

Περιφερὲς. στρογγύλον.

Περίπατος. διακινητήριον. ἢ τὸ βάδισμα.

Περίπισον. ἐξάκουσον. διαβόησον.

Περιπερέυεται. ματαιοῦται. ἀπακτεῖ καπεπρεται.

Περιδεής. περίφοβος.

Περιέπειραν. ἔπηξαν. καθήλωσαν. περιέβαλον.

Περίσασο. περισκόπησον. περίφευγε. ἀνάτρεπε.

Περικαθαίρων. ἀναλύων τὸ πεφαρμακευομένον. ἢ γεγοη τευμένον.

Περιέθε. περιέτρεχον.

Περαίνω. εἰς πέρας ἄγω. ἀνύω. πληρῶ.

Περίπλερα. ἀποσπινθηρισμοί.

Περισκυθιάσαντες. σπαράξαντες.

Περίβλεπτος. ἔξοχος. μέγιστος.

Πετάλοις. σημαίνει τοῖς φύλλοις παρὰ τὸ πέτω τὸ πίπτω.

Πετεινὸν. παρὰ τὸ τὴν πτέρυγα τείνειν.

Πευκαλίμη. φρόνησις.

Πευκαλίμαις. φρένας. συνετάς.

Πέταυρον. παγὶς ἢ βάθος.

Πεττοί. βόλια. ταβλιστήρια.

Πεύσομαι. ἐπερωτήσω. μάθω.

Πεῦσις. ἐρώτησις.

Πευκεδανόν. πικρόν.

Πεφηνός. τὸ δὴ λεγομένον. ἢ φανερωθέν.

Πεφενάκικεν. ἠπάτησεν.

Πέφνεν. ἀνεῖλον. ἐφόνευσεν.

Πεφημισμένων. πολυθρύλλητον.

Πεφοράται. τεθέαται. κατείληπται. φοράσαι γὰρ τὸ θεάσασθαι.

Πεφυκώς. ὑπάρχων.

Πεφοινιγμένην. αἱματωμένην. πεπυρωμένην. ἀπὸ τοῦ φόνου ἢ ἀπὸ τοῦ φοίνικος ἢ τοῦ πυρός.

Πεφενακισμένος. ἐξηπατημένος.

Πέφηνεν. ἐφανερώθη.

Πέφαται. τεθέαται.

Πεφυραμένους. μεμιγμένους.

Πεφρυγμένα. τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα νέου σίτου ἢ κριθῆς.

Πεφαυλισμένον. ἀποδεδοκιμασμένον. ἐξουδενωμένον.

Πεφυσιωμένων. ἐπηρμένον.

Πενιχρά. ταπεινά.

Πηλίνης. γηΐνης.
Πηδαλιουχεῖ. κυβερνᾷ.
Πῆ. ποῦ.
Πηδάλια. οἱ κύβερνοι τοῦ πλοίου.
Πῆ. ἐπίρρημα ἐρωτήσεως ἀντὶ τοῦ καὶ ἴσι.
Πήληξ. περικεφαλαία.
Πημαίνω. βλάπτω.
Πηνίκα. ἐπίρρημα ἐρωτήσεως καὶ πότε.
Πῆ μὲν. σύνδεσμος ἀπολογικός.
Πῆ δὲ. σύνδεσμος ἐναντιωματικός.
Πηρὸς. ὀξυτόνως μὲν τὸ πεπηρωμένον καὶ βεβλαμμένον
τὴν διάνοιαν. τοντὶ ἄνεον καὶ ἄφωνον. πῆρος περι=
σπωμένως ὁ τυφλός.
Πημονὴ. ἡ βλάβη.
Πηκτὶς. πάνδουρος. ἢ ὄργανον μουσικόν.
Πηκτίδος. ὀργάνου πανδούρου.
Πήλυξ. ῥαγάς.
Πῆμα. πάθος.
Πήματα. ἁμαρτήματα.
Πήματα. βλάβαι. ~~κα~~κώσεις.
Πηλὸς. ὁ οἶνος.
Πηγὸς. ἰσχυρὸς καὶ εὐτροφής.
Πῆξαι. κατασκευάσαι.
Πῆρος. ὁ παντάπασι μὴ ὁρῶν.
Πηλαὶ. διψαλαίοις. ἐνταῦθα δὲ ποσίμοις λιπα=
ροῖς.

Πιοὶ. ποιοὺς. συγγενεῖς.
Πιαίνω. λιπαίνω.
Πήρινες. οἱ ὄρχεις διὰ τὸ περισσὰς ἵνα ἔχειν.
Πηνη. ἐργασία.
Πίαρ. πέρας ἢ λιπαρὸν.
Πιαίνει. λιπαίνει.
Πίδακες. σταγόναι. πηγαὶ.
Πίδαξι. μικραῖς πηγαῖς.
Πίειρα. λιπαρὰ.
Πίθος. τὸ ἀγγεῖον. ἢ τὸ πόθος.
Πιθάκνη. πίθος μικρὸς.
Πίμπλαται. πληροῦται.
Πιερίδες. αἱ μοῦσαι ἐν μακεδονίᾳ.
Πίνακες. ἀναγραφαὶ.
Πῖνα. ὁ λίθος διὰ τοῦ ι.
Πίνος. ῥύπος. καὶ ἔριον θαλάσσιον.
Πίτυρον. ἐστὶ πίσσω καὶ σημαίνει τὸ κοπανίζω. καὶ ἐκ τούτου γράφεται καὶ πισάνη τὸ κόπανον.
Πιννῶδες. τὸ ῥυπαρὸν.
Πίονι. λιπαρὸν.
Πιπλῶν. πληρῶν.
Πινυτὴ. σώφρων συνετὴ.
Πιναρὰ. εὐτελῆ ῥυπαρὰ.
Πῆρα. ὁ θύλαξ γράγιστρον.
Πίτυς. πεύκη.

Πιταθεὶς. ἀμαθεὶς.
Πεῖρα. τὸ πει δίφθογγος δηλοῖ τὴν τέχνην.
Πιστίνιος. πιστὸς πιστότατος.
Πίσυνος. θαῤῥῶν. πεποιθῶς. πεπιστευκῶς.
Πίστιν. γνώμην βεβαίαν.
Πιανάτο. λιπανάτο.
Πιτύνη. κνῆκος. ὁ τὸν τυρὸν πηγνύων.
Πιθήνιος. πειθόμενος.
Πινυκτὸς. σώφρων. συνετὸς.
Πίτυλος. κτυπιστὴς φανταιος σκόπους.
Πιτυάνη. ἀσκὸς μικρὸς.
Πίττη. πίσση ἀττικῶς.
Πιφάσκει. δηλοῖ. λέγει. φανεροῖ.
Πλαγίως. δολίως.
Πλαδαρὸν. χαῦνον ὑγρὸν.
Πλαγὰν. πληγὴν ἀττικῶς.
Πλάζουσι. πλανῶσιν.
Πλειὰς. ἡ ἐκ πλειόνων ἄστρων οὖσα.
Πλάστιγξ. ἡ ζυγὴ.
Πλαστοῖς. ψεύδεσι.
Πλαστουργὸς. πλάστης. ποιητὴς.
Πλαταρίοσ. κουμερκιάριος. ἤγουν ἄρουραι. ἢ τοὺς διυγροὺς τόπους καὶ βοτανώδεις.
Πλάθους. πλήθους.
Πλαστῶς. δολίως.

Πλάστιγξ. ζυγὸς πλειὼν ὁ ἐνιαυτός.
Πλεῖν. πλέειν.
Πλημμελεία. ἁμαρτία.
Πλεονασμὸς. περιουσία.
Πληθὺς. πλῆθος.
Πληροφορία. ἐστιν ἀπαλλαγὴ ἀμφιβουλίας.
Πλεονεξία. ἐκ τοῦ πλέον ἔξω καὶ τοῦ ἔχω.
Πλεονεκτηθεὶς. καταδυναστευθείς.
Πλημμελεῖν. ἁμαρτεῖν.
Πλησιέστερον. ἐγγυότερον.
Πληκτιζόμενος. μαχόμενος.
Πλημμυραν. πλῆθος ὕδατος.
Πλήθουσαν. πλήρη πλεονάζουσαν.
Πληροφαὴς. πληροσέληνος ἡμέρας.
Πλοκαμοὶ. οἱ πλεκόμενοι. βόστρυχοι. συροπλόκοι.
Πλωτὸν. πλεόμενον.
Πολεῖν. οἰκεῖν.
Πλόϊμα. πλευστικὰ ἢ τὰ πλοῒ πεμπόμενα.
Πλύνεται. σμύχεται. ἀπονίπτεται. εἴρηται δὲ καὶ ὅταν τις λοιδορεῖται ἢ αἰσχρῶς ὑβρίζεται.
Πλωτῆρες. ναῦται. ναυτιλλόμενοι.
Πλῆμαι. καὶ πλήμναι διαφέρουσι. πλῆμαι αἱ πλημμυρίδες τῶν ποταμῶν. πλήμναι δὲ αἱ τῶν τροχῶν σύριγγες.
Πολύχναι. πόλις μικρά.
Πόθος. ἐπιθυμία.

Πολυάνδρια. μνήματα. τάφοι. ἔνθα πολλοὶ ἄνδρες κεῖν=
ται.
Πόδες. διὰ τὸ παίειν τὸ ἔδαφος. ἢ τὴν ὁδόν.
Πολιορκία. ἡ πρὸ τῶν τειχῶν τῆς πόλεως προθησις καὶ
Χαράκωσις.
Πόλις. λέγει τὸ πολίτευμα. ἄστυ δὲ τὸ τεῖχος.
Πολιοῦχοις. τοῖς τῆς πόλεως ἄρχουσι.
Πνεύμων. ἀναλόγως διὰ τοῦ μ. ταμία γάρ ἐστι τοῦ πνεύ=
ματος.
Πνεύσας. σφοδρῶς ὀργισθεὶς. λέγεται δὲ καὶ τῶν ἀνέ=
μων κίνησις.
Πνεῦμα. ἄνεμος. ψυχή. ἄγγελος. δαίμων. καὶ ὑπόστασις
σώματος.
Ποτεινή. ἀγαπητή. ἐκάστη. βοτάνη οὕτω λέγεται. ἡ δὲ
σμήχουσα ποιὰ λέγεται παρὰ δημοσθένει.
Ποδηγός. ὁδηγός. παιδαγωγός.
Ποιφαγία. βοτανοφαγία.
Ποινήν. τιμωρίαν.
Ποδάρκης. ὁ ἐπαρκεῖν ἑαυτῷ δυνάμενος διὰ τὴν ὀξύ
τητα τῶν ποδῶν.
Ποιμνεύειν. τὸ μετὰ πνεύματος ποιεῖν τι.
Ποδήρην. ἔνιοι λέγουσι τὸ μέχρι τῶν σφυρῶν διηκό=
νων ἱμάτιον. οἱ δὲ τὸ συῤῥαπτόμενον εἰς τὸ κάτοπτρον
τῆς στολῆς ἐκ πορφύρας καὶ βύσσου ῥάκος.

Ποῖ καὶ ποῦ. τόπον δή.
Ποδοκάκη. ξύλον τὸ ἐνειρκτῆ. ἐν ᾧ τοὺς πόδας ἐμβάλλοντες ἔχουσιν. ὃ παρὰ ῥωμαίοις καλεῖται κοῦσπος.
Ποιμαντικήν. διδασκαλικήν.
Ποικιλτικήν. ὑφαντικήν. πολυμιταρικήν.
Ποῖ γῆς. εἰς ποῖον τόπον.
Πολλοστός. οὐχ ὁ μετὰ πολλῶν. ἀλλ᾽ ὁ μετὰ πολλούς.
Πολυπάμμονος. πολυπλουσίου. πάμματα γὰρ καλεῖται παρὰ δωριεῦσι τὰ κτήματα. καὶ πάσασθαι τὸ κτήσασθαι. ἐκτεινομένου τοῦ ἄλφα.
Πολύστονος. πολυστένακτος.
Πόλος. οὐρανός. πῶλος δὲ ὁ τῆς ὄνου.
Πορίζων. ἀπεργαζόμενος.
Πόλοιο. οὐρανοῦ.
Πολυσχεδῆ. πολυμερῆ. εἰς πολλὰ μέρη ἐσχισμένον.
Πολύσπον. τὸ δίκτυον.
Πολυθρύλλητος. διαβόητος. ὀνομαστός.
Πολυφασίας. πολυλογίας.
Πολυτελῶν. τιμίων. πολυδαπάνων.
Πολιοῦχος. ὁ σώζων τὴν πόλιν, ἢ τοὺς ἄρχοντας.
Πολλοῦ γε καὶ δεῖ. πάνυ καταπολύ.
Πολύχουν. πολυφόρον.
Πολλαπλοῦν. πολλαπλασίονα.
Πολύευκτον. τίμιον. εὐχῆς ἄξιον.

Πολυωρήσεις. φυλάξεις. πολλὴν φροντίδα ποιήσεις.
Πολίχνια. πολύδρια.
Πολυπίδακα. πολλὰς πηγὰς ἔχουσαν.
Πολυκοιρανίη. πολυαρχία.
Πολέμιος. ἐχθρός.
Πισούμενος. ὁ μεταγενέστερος.
Πουπίλλους. ὁ ἀνήλικος.
Ποσῶς. μερικῶς.
Πολυτρόπως. διαφόρως. κατὰ πολλοὺς τρόπους.
Πούβλικον. δημόσιον. ὅθεν οἱ ποταμοὶ καὶ οἱ λιμένες πουβλίκου εἰσὶ δικαίου.
Πολῶ. τὸ οἰκῶ καὶ ἀναστρέφομαι. ἐξ οὗ καὶ πολύτης ὁ κάτοικος διὰ τοῦ βραχέος.
Πολυσπέρεων. ἐπὶ πόλλα μέρη τῆς γῆς ἐσπαρμένος.
Πολυῤῥοίτισι. πολλὰ ῥέουσι.
Πολύτλας. πόλλα ὑπομείνας.
Πολιτικός. ἀστεῖος. μετά τινος τέχνης.
Πονηρός. κυρίως λέγεται ὁ μώλωπας ἔχων ὡς ἐκ τοῦ πονεῖν. πονηρὸς καὶ ὁ κατὰ νοῦν πονῶν.
Πόντος. ἡ θάλασσα.
Ποντίου. θαλαττίου.
Πομφόλυγες. αἱ ἐκ τῶν ὄμβρων ἢ ἄλλων καταφερομένων ὑδάτων ἐπὶ ὕδασιν εὐδιάλυτοι κυρτώσεις. ἤτουν φυ=

=σήματα ὅθεν καὶ ἐπὶ τῶν διὰ κενῆς φυσιωμένων. ἢ ἄλλως ἐπ᾽ αἰρομένων λαμβάνεται ἡ λέξις.
Πομπεύει. ὡς γενικῶς μεγαληγορεῖ.
Πορσύνας. διεγείρας.
Πορθμός. πέραμα.
Πομποστολεῖ. ἐκπέμπει τὸν νηΐτην στόλον.
Πόντος. κυρίως μὲν ὁ ἔνδον τῆς Χερονήσου ὁ καὶ εὔξεινος καλούμενος. καταχρηστικῶς δὲ πᾶσα θάλασσα.
Πονηρός. ὁ ἐπίμονος καὶ κακοηθής.
Πόρρωθεν. μακρόθεν.
Πορφή. παρὰ τὸ πέρα τοῦ δέοντος εἶναι ἢ παρὰ τὸ πόρρω διέρχεσθαι. ἢ διὰ τὸ πρᾶν ἤγουν πηδᾶν.
Πομπυσμάτων. ὕβρεων.
Πορσύνων. ἐρεθίζων. διεγείρων. παρασκευάζων.
Πορθμός. στενός. θαλάσσιος πόρος ἑκατέρωθεν ὑπὸ γῆς περιεχόμενος.
Πόρπη. φίβλα. περόνη.
Ποππύσματα. κολακεῖαι εἰς τοὺς ἀδαμάστους ἵππους.
Πόρκης. ὁ δακτύλιος. τοῦ δόρατος ὁ συνέχων τὸ σίδηρον, πρὸς τὸ ξύλον.
Πονηρός. ὁ ἐπὶ πόνους ἀναστρεφόμενος.
Πόρνη. παρὰ τὸ πέρνημι τις εἶναι. ἢ τὴν μίξιν ἑαυτῆς πωλοῦσα τοῖς πᾶσιν. πόρνος δὲ παρὰ τὸ πόρρω νοὸς εἶναι. ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν. ἤγουν ἐσκοτισμένον.

Πόρε. παρέχε. ἔδω.
Πόρος. ἡ διάβασις.
Πορθμευτικῶς. διαβατικῶς.
Πώρωσις. ἀπολίθωσις. σκότωσις.
Πορθμεῖον. καὶ πορθμίον διαφέρουσι. πορθμεῖον λέγει
 τὸ πλοῖον. πορθμίον δὲ ὁ ναῦλος.
Πόῤῥω. ἔξω μακράν.
Πομπεία. φανερὰ ὕβρις. μεταφορικῶς.
Πομπειῶν. τῶν ἀναθημάτων τὰ προσφερόμενα.
Πόσιος. πόσεως ποτοῦ.
Ποσαπλῶς. πολλαπλῶς. ἀναριθμήτως.
Ποσημόριον. ὀλίγον μέρος βραχύτατον τὸν ἐλάχιστον.
Ποσαχῶς. πλειστάκις.
Ποταμός. παρὰ τὸ πότιμον ὕδωρ ἔχειν. ἢ παρὰ τὸ ποτάζω
 ποτάσω. ποταμός.
Ποταμηδόν. δίκην ποταμοῦ.
Πότμος. ὁ θάνατος.
Πόσθη. τὸ αἰδοῖον.
Προήκοντα. προεληλυθότα.
Πότερον. ἄρα.
Πότερον. ὁποῖον. ἐκ τούτων. τὸ ἐκ δύο ἕν.
Πότερον. τὸ μὲν ἐπερωτήσεως δηλωτικόν. τὸ δὲ ὁποῖον.
Πότος. τὸ συμπόσιον.

Ποτνιώμενοι. παρακαλοῦντες. ἢ λυπούμενοι. ἢ ἐξολκούμενοι.

Ποτνιᾶσθαι. κυριώτερον ἄντις φύσειεν ἐπὶ γυναικῶν ὅταν γυνὴ κακόν τι πάθῃ. καὶ θέλῃ ἱκετεύειν θεόν. ὦ πότνια λέγουσα.

Πόρτις. ἡ δάμαλις.

Πόρτα. διὰ τὸ τὸν πόρον τηρεῖν.

Πόρτακι. μόσχῳ νεογνῷ βοΐ.

Ποσειδῶν. ἡ θάλασσα. παρὰ τὸ τὴν πόσιν ἀναπέμπειν τῷ δάει τουτέστιν τῷ ἡλίῳ.

Ποσιμμόριον. τῶν δύο δρακῶν τῆς χειρὸς τὸ μέτρον.

Πόσις. ὁ ἀνήρ.

Πρανὲς. κατωφερὲς.

Πραπίδεσσιν. φρενῶν.

Πρᾶξις. ἀπαίτησις. ἢ ἄνεσις.

Πραϋπάθειαν. πραΰτητα. ἡσυχίαν.

Πραγμάτοιν. τῶν πραγμάτων. δυϊκῶς. ἢ τοῖς πράγμασι.

Πραίκων. κήρυξ.

Πράμνειος. οἶνος.

Πράως. ἡμέρως. ἡμερώς.

Πραπίδεσσι. φρεσί.

Πρᾶσον. παρὰ τὸ πιπράσκειν.

Πρασιά. τετράγωνος ἐστιν ἐν ᾗ φυτεύονται τὰ κρόμυα

Πρᾶσις. οἷον διαπέρασίς τις οὖσα ἀπὸ τοῦ ἐξ ἑτέρου εἰς ἕτερον μεταβαίνειν τὸ πιπρασκόμενον.

Πρέσβειρα. διὰ τοῦ ει σημαίνει τὴν γεγηρακυῖαν.

Πρεσβυγένεια. παλαιοτέρα γένεσις.
Πρέσβις. παρακλήτωρ ὁ πεμπόμενος πρὸς βασιλέα.
Πρέμνα. τὰ ἰσχυρὰ στελέχη καὶ βλαστοὶ οἱ γηρασκόμενοι.
Πρηνής. ἐπὶ ὄψιν πεσὼν ἤγουν ἐπὶ πρόσωπον καὶ κοιλίαν.
Πριάμενος. ὠνησάμενος. ἀγοράσας.
Πρηκτῆρος. πράκτορος ἀπαιτητοῦ.
Πρίν. πρὸ τοῦ. πρότερον.
Προσώμεθα. προδώσωμεν.
Προβιβάσαντες. προάξαντες.
Προεικάτω. προεοικέν. εἰασεν.
Προναίουσα. προχέουσα.
Προϊέμενοι. ἀπολύοντες. παραχωροῦντες.
Προσοχή. νῆψις. παρὰ τὸ προσέχειν. καὶ ἐν τούτῳ καρτερεῖν.
Προαίρεσις. ἐπιλογή. τουτέστι δύο προκειμένων τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου.
Πρίβατα. τὰ τῇ βασιλείᾳ ἰδιάζοντα διαφέροντα. ἄλλα δὲ ἐστὶ τὰ δημόσια ὅσα τελεῖ ὑπὸ τὸν κόμητα τῶν λαργιτιώνων ταῖς δημοσίαις ὑπουργοῦντα χρείαις. λαργιτιῶνες δὲ εἰσὶ δύο. τὰ σάκρα καὶ τὰ πρίβατα. δύο γὰρ εἰσὶ βασιλικοὶ θησαυροὶ οἱ ἰδιάζοντες τῆς βασιλείας. οἷον ὁ τῶν λαργιτιώνων. καὶ ὁ δημόσιος ὁ τοῦ φίσκου.
Προθέλυμνον. προρριζῶν ἐκ τῆς ῥίζης.

Προχόμεν. ἐνσπαθῶμεν. ἀκουπαθῶμεν.

Πρόχομεν. πᾶς ὁριστικὸς μονοσύλλαβος ἢ ὑποτακτικὸς εἰς ω λήγον ἔχων τὴν μετοχὴν εἰς ω ὀξυτόνως. τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· οἷον βῶ ἀναβῶ. θῶ καθῶ. εἰ δὲ μὴ εἰς ω ὀξυτόνως ἔχει τῆς μετοχῆς. ἀναβιβάζει τὸν τόνον. οἷον χῶ καταχῶ. ἐξ οὗ τὸ πληθυντικὸν καταχῶμεν καὶ προχῶμεν.

Πρόξιμος. ὁ πρῶτος ἢ ὁ πλησίον.

Προβόλειον. τὸ κυνηγητικὸν δόρυ.

Προικίζω. γαμίζω καὶ φερνίζω.

Προῖκα. χρυσὸς ἦν. ἤγουν δωρεὰν ἀγαθὸς ὑπῆρχε. τὸ δὲ προῖκα ἐπίρρημα ποιότητος.

Προμηθείας. προνοίας. ἐπιμελείας.

Πρόνοια. σημαίνει δ'. τὴν φροντίδα. καὶ τὴν κηδεμονικὴν τοῦ παντὸς δύναμιν. καὶ τὴν προαίρεσιν. καὶ τὴν πρόγνωσιν.

Προσφόρως. ἁρμοδίως. καταλλήλως.

Προτροπάδην. προτρεπόμενος καὶ φεύγων ἐκ πολέμου.

Πρόδηλον. πάνυ φανερόν.

Προυργιαίτερον. ἀναγκαιότερον. πρὸ παντὸς ἔργου.

Προθηβαῖοι. οἱ ἐν τῇ πρώτῃ ἡλικίᾳ ὄντες.

Προσεχής. ἢ νήφων. καὶ νουνεχής.

Πρεσβύτατε. ἐντιμότατε.

Προσφώνησις. κήρυξις. ἢ ἀναφορά. ἢ προσλάλησις.

Πρόμος. πρόμαχος βασιλεύς.
Προσεκτικώτεροι. νηφαλαιώτεροι.
Προΐζήσας. προκαθήσας.
Πρόχειρος. ἕτοιμος
Πρόσεισι. προσέρχεται.
Πρόσειμι. προσέρχομαι.
Προσήγορα. φίλα προσηνῆ.
Πρόσκλησιν. προτροπὴν χάριν.
Προσβολάς. ὁρμάς. παρατάξεις.
Προύχοντες. ὑπερέχοντες. προεξέχοντες.
Πρόσθεν. πρῶτον. πάλαι.
Προπέτεια. ἡ ἀχαλίνωτος γλῶσσα.
Προσέχει. ἀνεπιστρόφως θεωρεῖ.
Προασπιστής. πρόμαχος. βοηθός. ὑπέρμαχος.
Προφερέστατος. προτιμότερος. κρείττων.
Προειλάμην. προέκρινα. ἐπελεξάμην.
Προήχθην. προετράπην. ὡς καὶ ἐξήχθην ἐξετράπην.
Προβάλλομαι. ἐρωτῶ.
Προβάλλομαι. τιθῶ.
Προοίμιον. πρόλογος. ἀρχὴ λόγου. τὸ λεγόμενον πρὸ τῆς οἴμης. οἴμη δέ ἐστιν ἡ ᾠδή.
Προσῳδίαι. τόνοι λέξεων.
Προθεσμία. ἐκ τοῦ θεσμός. ὃ σημαίνει τὸν νόμον. ἢ ἐκ

τοῦ προστεθῆναι τὴν ἡμέραν ἐν ᾗ τόδε γενέσθαι χρῆ. οὐκ ἀπὸ τοῦ θεσπίζειν γὰρ ἐπὶ θεοῦ κυρίως. καταχρηστικῶς δὲ καὶ ἐπὶ βασιλέως.

Πρέσβυς. ὁ γέρων. παρὰ τὸ προβεβηκέναι τὴν ἥβην. διὰ τοῦ ὑψίλου. καὶ πρέσβις ὁ παρακλήτωρ ὁ πεμπόμενος πρὸς βασιλέα. ἀπὸ τοῦ πρεσβεύειν καὶ μεσιτεύειν. πρεσβευτὴς δὲ ὁ ἱκετεύων καὶ παρακαλῶν ἱκέτης.

Πρόβλημα. ὑπόκρισις. πρόβλημα ἐστι λόγος συνεσκιασμένος καὶ αἰνιγματώδης κατὰ τὸ εἰρημένον. ἀνοίξω ἐν ψαλτ. τὸ πρόβλημά μου. πρόβλημα ἐστι θεώρημα συντεῖνον πρὸς θεωρίαν καὶ γνῶσιν.

Προσευχή. ἐστιν αἴτησις ἀγαθῶν τῶν εὐσεβούντων εἰς θεὸν γινομένη.

Προσκόπτει. προσκρούει.

Πρόμαχος. ὁ ἀντίδικος. παρὰ τὸ πρόβος ὁ προβαίνων.

Προφανές. φανερόν.

Προσήκατο. προσεδέξατο.

Προσώχθισα. ἐβδελυξάμην. ἐμίσησα.

Προϊεμένου. προδόντος. προσερχομένου.

Προΐεται. προβάλλεται.

Προϊοῦσα. προερχομένη.

Πρόσφορον. ἐπιτήδειον. ἁρμόζον.

Προεζόμενος. προκαθεζόμενος.

Προκόλπιον. τὸ πρὸ τοῦ κόλπου. λαμβάνεται δὲ ἐπὶ τῶν δωροδέκτων.
Προσπελάζει. προσεγγίζει.
Προσκρεῶν. προσράπτων.
Πρόβολον. πρόμαχον.
Προριζῶν. ἐκριζῶν. ἀνασπώμενον.
Προσκομιστέον. προσενεγκτέον.
Προσποριαθέν. προσοδευθέν. ἐπινοηθέν.
Πρόκριτον. ἐκλεκτόν.
Προσβαλεῶν. προσελθεῶν.
Προσποιήσω. σχηματίσω.
Προείσομεν. προδώσω. προβαλοῦμαι.
Πρὸς πατρός. παρὰ πατρός.
Πρηστήριον. καυστικόν.
Προαλής. προπετής.
Προσήλυτος. ξένος. πάροικος.
Πρόσειπε. προσαγόρευσον. ἄσπασαι
Προστρήσομαι. ἐπαιρωτήσω.
Προπηλακισμός. ὕβρις. ἐξουδένωσις.
Προπηλακίζων. ἐξουθενῶν. ὑβρίζων. διασυρῶν.
Πρόσχημα. ὑπόκρισις.
Προπετής. ὁ ἄγαν ἐκ τοῦ δέοντος πίπτων.
Πρύμνον. πᾶν τὸ τελευταῖον τὸ συνορίζον τινί.
Προσηνής. εὐμενής. πρᾶος.

Προύργου. ἀναγκαίου. φανεροῦ. προέργου.
Προσεκτέα. σπουδαστέα.
Προύτυψαν. προέτυψαν. προήρξαντο.
Πρόσφατον. ἀρτίως. πρὸ μικροῦ. νεωστὶ γενόμενον.
Προύστημεν. προέστημεν.
Πρόπολος. δούλη. προπολεύουσα.
Προύπεμψας. προέπεμψας.
Προσφερής. ὁμοίας. ἀλλήλοις.
Προκέοιτο. προκείσθω.
Προκαθηγήσασθαι. δεῖ προακουσθῆς δέον.
Προαναθρώσκει. προαναπηδᾷ.
Προσῆκον. πρέπον.
Προὶ. προδύς.
Πρῶμαι. ἔασω. ἐνδώσω.
Προσερνησάμενος. περιπλεξάμενος.
Πρόσω, πορείαν. ἐπὶ τὰ ἔμπροσθεν ὁδόν.
Προσέρρυει. προσέφυγε. προσῆλθε. προσεδράμαιεν.
Πρόρρησις. πρόλογος. προφητεία.
Πρόσκομμα. ζημία. βλάβη. σκάνδαλον.
Προνομή. διαρπαγή. αἰχμαλωσία
Προτομή. εἰκὼν βασιλικῆς.
Προσεποίσω. προσέτεω. ἀξιᾶ. ὁρῶ.
Προσφυῶς. ἐπίρρημα. ἐκ τῆς πρὸς προθέσεως καὶ τὸ φύς ὅ σημαίνει τὸ περιπλέκειν καὶ φιλεῖν. γίνεται προσφυῶς. ἤτοι πρόσφιλον.

Προυργιαίτερον. ἀναγκαιότερον. πρὸ παντὸς ἔργου.
Προύνικος. δρομεύς. εὐκίνητος. νικηφόρος.
Προσεχῶς. ἀμέσως. ἐγγύς. εὐθύς.
Προσάγει. προσκομίζει.
Πρόσφυξ, πρόσφυγος. ἱκέτης.
Προσκοπίας. προτιμήσεως. προκαθεδρίας.
Προσακεσμόν. προσθεραπείαν. πρὸς ὑγείαν.
Πρὸς ὅν. πρὸς ὄντινα.
Προσόν. ἐν ὑπάρχον.
Προχειρίσαι. προβαλοῦ. ἐπιλέξαι
Προτέρημα. ἡ προτίμησις.
Προτέρα καὶ προτεραία διαφέρουσι. προτέρα μὲν γὰρ ἐπὶ τάξεως. προτεραία δὲ ἐπὶ μόνης ἡμέρας
Πραότης. τὸ δύνασθαι φέρειν τὰ μέτρια ἐγκλήματα. ὀλιγορίας ἀγνοίας. καὶ πονηρίας. καὶ μὴ ταχέως ὁρμᾶν καὶ σπεύδειν ἐπὶ τιμωρίας. καὶ τὸ ἀκίνητον εἶναι πρὸς ταραχάς. μικρὸν δὲ ἦθεν καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ καὶ στάσιμον. πραότης ἐστὶ παντελῶς θυμοῦ θνῆσις. πραότης ἐστὶν ἀκινησία τοῦ παρὰ φύσιν θυμοῦ.

Πραότης ἐστὶν ἀκίνητος ψυχῆς κατάστασις. ἐν ἀτιμίαις. καὶ εὐφημίαις. ἐπ᾽ ἴσης ἔχουσα.

Προεθύμησεν. μετὰ προαιρέσεως ἑκουσίως.
Προσεμοῦ. οἰκεῖός μου. ἐγγύς μου. φίλος μου. παρ᾽ ἐμοί
Προσεπιγνῶν. βάσιμον.

Πρὸς ὑποτύπωσιν. πρὸς σημεῖον. πρὸς ἔνδειγμα.

Προσαγηόχασι. προσήγαγον. προσήνεγκαν.

Προπάτωρ. πρόγονος. πρόπαππος.

Προφυλακὴ τῷ κυρίῳ. εἰς τέσσαρας φυλακὰς διαιρεῖται ἡ νὺξ. ἑκάστη τρεῖς ὥρας ἔχουσα.

Πρόσκειται. ἀγαπᾶ. ὁλοψύχως διάκειται.

Προφήτης. παρὰ τὸ φῶ τὸ λέγω. τὰ δὲ λοιπὰ δῆλα.

Προσωποποιΐα. ὅταν πρόσωπον ὑποθέμενος ἢ ὑποδὺς ὡς προσώπου τινὸς εἴποι.

Προκυλίνδομαι. προκυλίομαι.

Προμυῶ. προξενῶ. προμνηστεύομαι.

Προσρησσόμενον. προσρηγνύμενον. προσκρουόμενον.

Πρόσγειος. ταπεινὸς πρὸς γῆν.

Προσνέμει. προσκληροῖ.

Προσάντης. ἐναντίος.

Προσουρρὸς. προτοίργγος.

Προσφωνεῖ. προσαγορεύει.

Προύργου. πρὸ ἔργου.

Προσωτέρω. ἔστι ἔμπροσθεν ἐσωτέρω.

Πρότασις. ἐρώτησις. μετ᾽ ἐπιστάσεως.

Προχοαί. αἱ τῶν ποταμῶν ἐξοδευτικαὶ ἀφέσεις εἰς θάλασσαν. καταχρηστικῶς δὲ καὶ παντὸς ὕδατος ἐκροή.

Πρόεδρος. ὁ τῆς πολιτείας ἀρχηγὸς ἡγεμών.

Πρύμνον. πᾶν τὸ ὄπιθεν πρύμνον λέγεται.
Πρύτανις. διοικητής. ταμίας. προστάτης. φύλαξ. ἔξαρχος.
Πρυτανεῖον. παρὰ τὸ ἐκεῖ φυλάττεσθαι τοῦ πυροῦ.
Πρυτάνιον. κιλλάριον.
Πρυτανεῦσαι. σημαίνει πολλά. διοικῆσαι. προστατεῦσαι. φυλάξαι. βασιλεῦσαι. ταμιεῦσαι. κυρίως γὰρ ἐπὶ τού- του τοῦ σημαινομένου τάσσεται ἡ λέξις. πρύτανις γὰρ λέγεται ὁ σιτοφύλαξ, οἱονεὶ πυροταμίας τις ὤν καὶ κατὰ συγκοπὴν πρύτανις.
Πρυτάνης. οἰκονόμης.
Πρυμμώρεια. τὸ τελευταῖον τοῦ ὄρους.
Προύνικος. ὑβριστής.
Πρυλέες. πεζοί.
Πτερύγιον. ἀκρωτήριον.
Πτερόεντα. κοῦφα.
Πτέρυξ. ἡ σὰρξ ἡ ἐκφύονται τὰ πτερά. καὶ πτέρυξ τὰ πτερύγια δι᾽ ὧν πέτονται.
Πτίλα. τὰ μικρὰ πτερά.
Πρᾶξις. ἐστὶν ἐνέργεια ψυχῆς λογικῆς διὰ σώματος ἐκτελουμένη.
Πρακτικός. ἐστὶν ὁ τῆς σαρκὸς ἐξελὼν τὴν ὀδύνην καὶ τὴν ὀδύνην.
Πτύσμα. πτύσις. ἤτοι ῥίψις τοῦ ἐσμοῦ τουτέστιν τοῦ πλήθους τῶν ὑγρῶν.
Πτίλα. ἄρμενα.

Πτήσσει. πτοεῖται.

Πτερνισμόν. ἐπιβουλὴν δόλον κατασκευήν.

Πτερνίζει. ἀπατᾷ. συναρπάζει.

Πτερνιεῖ. παριδεύει.

Πτηνά. ὄρνεα πετεινά.

Πτίλον. πτερῶν. ἁπαλότερον.

Πτώσσοντας. δειλιῶντας.

Πτόλεις. πόλεις.

Πτόαν. πτόησιν. φόβον.

Πτόρθους. κλάδους.

Πυκτῷ πυσσομένῳ. κλειομένῳ.

Πτυκτίον. βιβλίον.

Πτῶκες. δειλοί

Πτωκάς. δορκάς. ἢ ἐλάφου γέννημα. ἢ λαγωός.

Πτῶξ. ἐπίθετον. λαγωοῦ.

Πτύξ. ἡ συστροφὴ τῶν δακτύλων. πάμμαχος.

Πυγμή. σημαίνει τὸν γρόνθον τῆς χειρός. γέγονε δὲ παρὰ τὸ πηγνύω πηγμή. ἐξ οὗ καὶ πτυχεία καλεῖται τὰ ἀσφαλιζόμενα.

Πτυχός. ἀσφάλισμα.

Πτύξιν. δίπλωσιν.

Πτύχας. τὰ ἐλάσματα τῆς ἀσπίδος.

Πτυχίον. καταβατὸν βιβλίου θέσις.

Πυκάζουσι. σκιάζουσι. στεφανοῦσι.

Πυκτίον. τὸ τῶν          των. πικτὶ δὲ τὸ πραχίδιον. ὁμοίως. καὶ πυκτὴ ἡ βίβλος πᾶσα. νυκτὶς δὲ καὶ ἡ λύρα.
Πυραὶ. πυρκαϊαὶ.
Πυτίνη. φλασκίον.
Πυξίδης. αἱ δέλτοι καὶ αἱ ὁπλαὶ τῶν κτηνῶν.
Πύργος. σημαίνει β. τὸ τεῖχος τῆς πόλεως. καὶ τὴν στρατιωτικὴν τάξιν.
Πύελος. σκάφη. ἡ ἔμβασις
Πυρπολούμενος. ἐμπυριζόμενος. παρὰ τὸ πέλειν ἐν πυρὶ.
Πυρσὸς. φῶς. πυρσὸς δὲ ἐστι ἐκ φρυγανώδους ὕλαι ἀναπτώμενον πῦρ.
Πυθόμενος. ἀκούσας.
Πυθὼν. πόλις εἰς δελφοὺς.
Πυθμὴν. πᾶν τὸ ὑποκάτω τοῦ βάθους.
Πυθεία. πανήγυρις ἑλληνικῆς ἑορτῆς.
Πυκνοῖς. συνετοῖς.
Πυρσῷ. φωτὶ.
Πύθεσθαι. ἐρωτῆσαι ματεῖν.
Πυνθάνεσθαι. ἀκοῦσαι. μανθάνειν.
Πυργοβαρεῖς. οἱ προμαχῶνες. οἱ ἰσχυρότεροι τῶν πύργων.
Πυρὸς. ὁ σῖτος.
Πυρσεῦσαι. πῦρ ἅψαι. καὶ διὰ πυρὸς φωτίσαι
Πυρσεύει. λαμπαδουχεῖ διὰ πυρὸς σημαίνει.

Πυρίον. θυμιατήριον.

Πυροφόρου. πυρκαϊὰ λαμπὴρ.

Πύσμα. ἐρώτημα.

Πύσει. σήψει.

Πυξὶς. τεῦχος ἰατρικὸν.

Πυθώνιον. δαιμόνιον. μαντικώτατον.

Πόρος. διάβασις.

Πωλὸς. τυφλὸς.

Πωλοδάμνης. πώλους γυμνάζων.

Πῶρος. πένθος. σκληροῦς καὶ λίθος.

Πωσαπλῶς. ποσαχῶς.

Πωτᾶσθαι. πέτασθαι.

Πώποτε. ποτὲ.

Πωλέσκετο. ἀναστρέφετο.

Πώρωσις. ἀναισθησία.

Πῶυ. λέγει τὸ ποίμνιον.

## Ἀρχὴ τοῦ Ρ στοιχείου.

Ῥάας. ῥεῦμα.

Ῥάβδος. καὶ βατηρία διαφέρει. ῥάβδος μὲν γάρ ἐστιν ἡ πρὸς τὸ τύψαι ἐπιτηδεία. βακτηρία δὲ ἡ τοῦ γήρως ἀνάπαυσις.

Ῥαγά. ῥῶγα.

Ῥαγδαιότατος. σφοδρότατος.

Ῥᾳδιουργὸς. πλαστογράφος. πονηρὸς.

Ραδίως. ευχερῶς. ευκόλως.
Ραδαλον. ευδιάσυσον.
Ράδαμνος. κλάδος. βλαστὸς. παραφυάδιον. ἤ ἄνθος δένδρου.
Ραθυμία. αμέλεια. ολιγοψυχία.
Ραδάμιγγες. ρανίδες. σαγόνες. καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτος
Ραίσας. υγιάνας.
Ραισῆρα. σφῦραν σιδηραν.
Ράκος. τὸ διεῤῥωγὸς ἱμάτιον.
Ράμφος. ῥύγχος ορνίτων ἤτουν σόμα ορνέων.
Ραντον. ποικίλον.
Ραξ. ρωγὸς.
Ρᾷον καλον. ευχερὲς. ευκολον. ελαφρον.
Ραπὶς. ῥάβδος.
Ρᾷσα. ευχερῆ. εὔκολα.
Ραςώνη. ῥαθυμία. τρυφὴ. ανάπαυσις. αργία. τέρψις. ευκολία.
Ραχὶς. τὸ νώτιον μέρος. ἡ ἄκανθα τοῦ νώτου.
Ραψωδία. λόγων συναφὴ. φλυαρία.
Ρέεθρον. ρέιθρον. ρευμάτιον.
Ρέζει. πράττει. θύει.
Ρέξει. πράξει
Ρέζει. καταρρεῖτο
Ρέξομεν. ποιήσομεν.
Ρεῦε. δίωκε.

Ρεχθεν. πραχθεν.
Ρεόντων. παρερχομένων.
Ρέπει. κλίνει.
Ρέδα. ἅρμα. καρουχα.
Ρεῖα. ῥαδίως.
Ρεπούδιον. ἀναστροπή.
Ρέψας. στρέψας. ἢ κλίνας
Ρεῖθρον. τὸ ῥέον ὕδωρ. ῥεῦμα.
Ρητορική. διὰ τὸν ῥεῖν τοῦ λόγον ἀφθόνως
Ρεφαν. διὰ τὸ ῥεύεσθαι πάνυ γὰρ δὲ καὶ ῥέπανον.
Ραιβος. ὁ διεστραμμένος.
Ρέξαι. βάψαι.
Ρῆγμα. σχίσμα. στάσις ἀνέμου. ἢ τραῦμα. ὠτειλή.
Ρῆβα. πόλις.
Ρῆγος. τὸ βαπτὸν χρῶμα.
Ρήσσει. ἠχεῖ. κρούει.
Ρήσεις. λόγοι.
Ρηΐτερος. εὐχερέστερος. εὐκολώτερος.
Ρηϊδίως. ῥαδίως. εὐκόλως.
Ρηξήνορες. ἀνδρεῖοι.
Ρησιδίων. λεξιδίων.
Ρήγεα. παλλία βαπτά.
Ρήσσοντες. κροτοῦντες τοῖς ποσί.
Ρήτρας. ὁμολογίας. συνθήκας. ἢ ῥήτορας.

Ῥήτωρ. συνήγορος. δικολόγος. καὶ ὁ τὴν ἰδίαν γνώμην ἀπο-
φαίνων.
Ῥηχθέντα. καταβληθέντα.
Ῥητῶν. ὡρισμένων φανερῶν λέξεων.
Ῥεῖα. μάλα. εὐχερῶς λίαν.
Ῥησείδιον. λεξίδιον.
Ῥινες. παρὰ τὸ ῥεῖν δι' αὐτῶν τὰ ὑγρὰ τῆς κεφαλῆς
Ῥῖνος. δέρμα ἢ βύρσα.
Ῥίον. ἀκρωτήριον.
Ῥιπὴ. ἄνεμος. βλεφάρων ὁρμή.
Ῥίγησα. φρικοδίσατα.
Ῥίθμησον. μέτρησον.
Ῥιπὰς. ἀνέμου συστροφή.
Ῥιπάζων. διαῤῥίπτων. καταῤῥίπτων
Ῥιψάσπις. δειλὸς ἐν πολέμῳ ὁ τὰ ὅπλα ῥίπτων καὶ φεύγων
Ῥηγμὶν. ὁ αἰγιαλός. κυρίως διὰ τῶν προσκρουμένων ἐν
αὐτῷ κυμάτων.
Ῥιψοκίνδυνος. παράβολος. τολμηρὸς. ἐπικίνδυνος.
Ῥόθος. οἱ μὲν τὸν ψόφον ἔθεν καὶ ῥόθιον καλεῖσθαι. τὸ κτυ-
ποῦν κῦμα καὶ ῥεῦμα.
Ῥοίθειον. ἀκρωτήριον.
Ῥοιβδεῖ. καὶ ἀναρροιβδεῖ. τὸ ἀναρροφεῖ.
Ῥοιβδεῖν. ἀναῤῥοφᾶν.
Ῥοαῖς. τοῖς ῥέουσιν ὕδατα.
Ῥοὴν. ῥύσιν.

Ρήγιον. ἡ πόλις.
Ῥεύματα. καὶ ῥοά. τὸ δένδρον βαρυτόνως.
Ῥοδοδάκτυλος. ῥοδόχροος. ῥουσιοδάκτυλος.
Ῥοδωνιά. τόπος ἐν ᾧ εἰσὶ ῥόδα.
Ῥοίζησεν. ἐφώνησε.
Ῥόθιον. τὸ μετ' ἤχου κῦμα.
Ῥοθίως. ὁρμὴ μετὰ κτύπου.
Ῥοιζηδόν. σφοδρῶς μετ' ἤχου.
Ῥοιβδεῖν. ἀναῤῥοφεῖ. ἀναρίπτει.
Ῥωπήϊα. σύμφυτος. τόπος.
Ῥοπαῖς. κλίσεσι.
Ῥοδόεντα. πυῤῥά.
Ῥόπαλον. ξύλον. βάκλον. βακτηρία.
Ῥοπή. κλίσις. νεῦμα.
Ῥοῦν. ῥεῦμα.
Ῥόπτρον. ῥόπαλον. ἢ παγίς. ἢ τιμωρία.
Ῥομφαία. μάχαιρα.
Ῥοφεῖ. καταπίνει.
Ῥοχθεῖ. ἠχεῖ. ψοφεῖ. κλύζει.
Ῥύβδην. ταχύτερον.
Ῥύακες. ῥεύματα.
Ῥοώδες. ῥεῦμα ἔχον κατοφερές.
Ῥύζειν. ὡς ἐπὶ ῥεύματος σφοδρῶς φοβερῶς.
Ῥυτεῖον. τροίας ἀκρωτήριον.
Ῥυπτόμενον. καθαιρόμενον.

Ῥύεται. σκέπει. φυλάττει. σώζει.
Ῥυήσονται. φθαρήσονται. ἐκρεύσουσιν.
Ῥυθμίζει. κανονίζει. εὐθύνει. διατυποῖ.
Ῥύμη. ὁρμή. ἔμβολον. λαύρα.
Ῥυθμός. ἀκολουθία. ἁρμονία. μέλος εὔφωνος. καὶ τάξις ἢ σύγκρισις.
Ῥυμοτομεῖται. εἰς ὀρθὸν διακόπτεται.
Ῥύμματα. τρίμματα. σμήγματα.
Ῥύπτει. καθαίρει. σμήχει.
Ῥυηφενία. σημαίνει τὸν πλοῦτον.
Ῥυπτικόν. καθαρτικόν.
Ῥύσια. λύτρα. ἐνέχυρα.
Ῥύσιον. τὸ ἕνεκεν ἐνεχύρου κατεχόμενον.
Ῥυτίδα. σπίλον. ἀθένειαν.
Ῥυτήματα. τὰ ἐπὶ τῶν ὄψεων τῶν γεγηρακότων σπηλώματα.
Ῥυτῆρες. χαλινοί. ἡνίαι. ἱμάντες.
Ῥυτῆρσι. λώροις. ἱμᾶσι.
Ῥῶ. παρὰ τὸ ῥέω. ὑγρὰ γὰρ καὶ εὐμάλακτα καὶ ὥσπερ ἔλαβον ῥεῖ ἐν τοῖς μέτροις τὰ ἀμετάβολα.
Ῥωγαλέον. ἰσχυρόν. ἀνδρεῖον.
Ῥώμαις. ἰσχύσι. δυνάμεσιν.
Ῥωννύουσαν. ἰσχυροποιοῦσαν.
Ῥώμη. ὑγεία. ἀνδρεία. δύναμις. ἰσχύς.
Ῥώννυσιν. ἐν δυνάμει. ὑγείαν παρέχει.

Ρωποὶ. μίγματα. χρώματα. ὅσα ζωγράφοις καὶ βαφεῦσι
καὶ μυρεψοῖς χρησιμεύει. τινὲς δὲ καὶ τὸν παντοδαπὸν
φόρτον. ῥώπαλον. λέγουσιν.

Ρωχμὸς. ῥῆγμα γῆς.

Ρωώδης. ῥεῦμα ἔχων.

Ρῶπες. δασέα. ὑψηλή. καὶ σύμφυτος τόπος.

Ρωχμοῖς. ῥέξεσι γῆς.

Ρῶσις. ὑγεία.

Ρωϊκὸν. λέγεται τὸ ἱππικόν.

Ρωμαλία. ἐχυρὰ.

Ρὼψ. βοτάνη ἁπαλή.

## Ἀρχὴ τοῦ Σ στοιχείου.

Σαβάνδιος. ἐπώνυμον διονύσου.

Σαβέλλειος. νοῦς. τὸ δὲ κύριον τ.

Σαλάρια. δηνάρια.

Σαλμυδησσὸς. ποταμὸς θράκης.

Σάκος. τὸ δόρυ. οἱδὲ τὸ σκουτάριον.

Σάγη. περιβόλαιον. σάγμα. σκέπασμα.

Σαγάριος. ποταμὸς φρυγίας καὶ λυδίας.

Σαυρωτήρ. δόρυ ὅπου ἐμπήγνυται τὸ σίδηρον τοῦ δόρα=
τος.

Σαρινεύει. ὑπολαμβάνει. σαγηνεύει.

Σάγαρις. κοπὶς. ἢ πέλεκυς.

Σαίρει. κοσμεῖ.

Σαθρὰ. ἔσαθρα. ἀσθενῆ.

Σαίνει. κολακεύει.

Σαίνω. παρακαλῶ.

Σαλαλακῶν. ὁ προσποιούμενος πλούσιος εἶναι πένης ὤν.

Σακελλάριος. σημαίνει ἐπιδέχεσθαι. σάκελλα γὰρ τὸ δέ-
χεσθαι εἴρηται.

Σαπρὸν. δυσῶδες. σηπτικόν.

Σάκρον. τὸ δημόσιον ἀφιερωθὲν εἴτε ἐν πόλει εἴτε ἐν
ἀγρῷ.

Σάρωσις. ἡ φιλοκάλησις.

Σαράβαρα. ἐσθὴς περσική. ἔνιοι δὲ λέγουσι βρακία.
ἄλλοι δὲ τὰ σκέλη ἐνδύματα.

Σαρπιγκτὴς. ὁ τῆς σάλπιγγος φωνολόγος.

Σαμβύκη. εἶδος ὀργάνου

Σάλον. μετὰ κίνησιν ταραχήν.

Σάνδυξ. χρῶμα κόκκινον.

Σάξαι. καὶ σάττειν. τὸ στρῶσαι καὶ στρωννύειν.

Σαπρία. ἀφανισμὸς. δυσωδία.

Σαρκάζων. μετὰ πικρίας καὶ θυμοῦ γελῶν.

Σάωσομεν. σώσομεν.

Σαώτερος. σῶος. ὑγιέστερος.

Σαρκικός. ὁ ἐμπαθὴς καὶ ὑλώδης. ψυχικὸς δὲ ὁ μὴ ἕτερον ἀκριβώσας καὶ πρὸς ἑκάτερον ἔχων.

Σάρισσα. εἶδος ἀκοντίου ἑλληνικοῦ.

Σαρδάνειος. γέλως καθ' ὑπόκρισιν ἀπὸ τοῦ σεσηρέναι τοὺς ὀδόντας.

Σάρδιον. βοτάνη δηλητήριος. ἥτις ἅπαν τὸ σῶμα τοῦ φάγοντος αὐτὴν σπασμῷ ὑποβάλλει. ὡς καὶ τῶν χειλέων συσταλέντων γυμνοῦσθαι τοὺς ὀδόντας. καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν. ἔστι δὲ καὶ λίθος.

Σαλάμβη. ἡ θυρίς. ἡ ἀεὶ ἐν σάλῳ οὖσα. ἢ διὰ τὸ εἰσέρχεσθαι δι' αὐτῆς τὸ σέλας οἱονεὶ τὸ φῶς.

Σάτυρος. δαίμονος ὄνομα. χορευτής.

Σαυρωτῆρσι. τοῖς στύραξι τῶν ὄπισθεν τῶν δοράτων.

Σαφηνιεῖ. ἑρμηνεύει. διατρανώσαι.

Σαφές. φανερόν. γνώριμον. ἀσφαλές.

Σαόφρονα. σώφρονα.

Σέβας. τιμή. προσκύνησις.

Σεβαστός. προσκυνητός. σεπτός.

Σεβίζει. σέβεται.

Σέθεν. σοῦ.

Σέκρετον. παρὰ τὸ σπεῖν τὰς κρίσεις.

Σεραφὶμ. ἔμπυρα σώματα.
Σειρομάστης. εἶδος ἀκοντίου. λόγχη.
Σειραῖς. πλεκτοῖς ἱμᾶσι.
Σειρά. πλοκή.
Σεισάχθιαι. χρεῶν ἀποκοπαί.
Σειροί. αἱ ἐπαύλεις.
Σελευκίς. εἶδος ὀρνέου.
Σέλινον. παρότι σέλει τὸν νοῦν.
Σέλας. φῶς. λαμπρότης. λέγεται δὲ καὶ τὸ τῆς σελήνης.
Σέλας. πῦρ. ἢ τὸν κεραυνόν.
Σελάον. λαμπρόν.
Σελμῶν. σανίδων.
Σελίς. καταβατὸν βιβλίου πτυχή.
Σεμνυνόμενος. κομπάζων. μεγαφρονῶν.
Σεμνός. ἔντιμος. ἔνδοξος.
Σέσηρε. γελᾷ.
Σενάτορ. τὸ ὄνομα. σινάτορ δὲ ἡ ἀξία. οὕτως εὗρον ἐν κωνσταντίνου τῷ γραφομένων ὑπὸ φιλοσόφων.
Σεπτέμβριος. καὶ ὀκτώβριος καὶ νοέμβριος. καὶ δεκέμβριος. κατὰ τὸν τῶν λατίνων ἀριθμὸν λέγονται. πρῶτος γὰρ μὴν παρ᾽ ἑβραίοις μάρτιος. καὶ ἀπὸ τούτου ἕβδομος ὁ σεπτέμβριος. ὄγδοος ὁ ὀκτώβριος. ἔννατος ὁ νοέμβριος. δέκατος ὁ δεκέμβριος.

Σεύει. διώκει.

Σεφθείημεν. σεβαθείημεν. τιμήσομεν.

Σείνω. βλάπτω.

Σεινόμενοι. βλάπτοντες.

Σεπτόν. ἔντιμον. ἅγιον. σεβάσμιον.

Σεσηρῶς. κεχηνῶς. διηνυγμένως.

Σεσοβημένος. ἄτακτος. ταραχώδης.

Σεμηραμεία. τύχη.

Σειρήνειον. μέλος.

Σηκοῖς. τοῖς τῶν προβάτων ἐπαύλεσι.

Σηκός. ὁ ἐνδότερος τόπος τοῦ ἱεροῦ. λέγεται δὲ καὶ ναὸς οἶκος.

Σῆμα. σημαίνει γ̄. τὸ σημεῖον. τὸν τάφον. καὶ τὴν σφραγίδα.

Σημεῖον. τέρατος διαφέρει. σημεῖον δὲ ἐπὶ γῆς γινόμενον. τέρας. τὸ ἐν τῷ ἀέρι.

Σηρῶν. σηρικῶν.

Σησαμοῦντια. τείχη.

Σής. θρὶψ. καὶ ἴψ. διαφέρουσι. θρὶψ μέν ἐστι σκώληξ ἐσθίων τὰ ξύλα. σὴς δὲ ὁ τὰ ἱμάτια. ἴψ δὲ ὁ τὰ κέρατα καὶ τὰς ἀμπέλους βλάπτων.

Σῆσις. ἡ κοσκίνησις.

Σητόβρωτα. σκωληκόβρωτα.

Σητάνιος. ὁ καθαρὸς ἄρτος ἐκ τοῦ σήθω τὸ κοσκινῶ.

Σήλεκτος. χαμαιδικαστής.

Σήματα. σημεῖα. ἀττικοὶ δὲ μνήματα.

Σήμαντρα. σφραγῖδες.

Σημεῖα. σίγναι. προτιμαί.

Σημασία. φανέρωσις διὰ σάλπιγγος.

Σήμαινε. πρόσταττε.

Σημαντικήν. δηλωτικήν.

Σημάντορας. ἐπιτάκτορας.

Σῆρες. ὄνομα ἔθνους. ὅθεν τὸ ὁλοσηρικὸν ἔρχεται μεταξωτόν.

Σῆρες. ζῶα νήθοντα μέταξην.

Σήραγγες. κοιλώδεις τόποι.

Σήραγξ. χάσμα. κοιλάς. ὕφαλος πέτρα ῥήγματα ἔχουσα.

Σηπεδῶνα. τὸ σεσηπὸς πρᾶγμα.

Σηλυμβρία. πόλεως ὄνομα.

Σθένος. δύναμις. βία. ἰσχύς.

Σθενώσει. δυναμώσαι.

Σθένει. δυνάμει.

Σθεναρή. ἰσχυρά.

Σθεναρός. ἰσχυρός.

Σίαλος. τὸ λεπτὸν τῶν ἄλλων ὑγρῶν.

Σίβδαι. λέγονται αἱ ῥοιαί.

Σιγηλός. ἄφωνος. σιγηρός.

Σιγαλόεντα. ποικίλα.

Σικυώνια. ψέλλια.

Σιμικίνθια. φακιόλια. ἢ ζωνάρια.

Σίμβλους. τὰς θήκας τῶν μελισσῶν.

Σιμὸς. ὁ πατζὸς καὶ μικρόμυτος. καὶ πᾶν τὸ κολοβὸν. σιμὸν λέγεται καὶ διὰ τοῦ ι γράφεται.

Σίμος. ὁ ἰχθὺς. καὶ σιμὸς ὁ κυρτόριν.

Σίνηπι. παρὰ τὸ σίνεσθαι τοὺς ὦπας ἤγουν τοὺς ὀφθαλμοὺς βλάπτεσθαι. ἢ τὸ βλάπτον τοὺς ὀφθαλμούς.

Σισόην. ὄνομα θηλυκὸν πιστικὸν αἰγυπτιακόν.

Σισάχθη. Χρεῶν ἀποκοπή.

Σισύρα. αἴγει γουνή.

Σιγματοειδῶς. ἐκ τοῦ σίζω τὸ ἦχον ἀποτελῶ.

Σινιάσαι. σεῖσαι. κοσκινεῦσαι.

Σινοῦται. βλάπτεται.

Σιρήνων λόγους. ἀπατεώνων λόγους.

Σίσυρα. τραχὺ καὶ παχὺ ἱμάτιον δουλικόν.

Σίνος. βλάβος.

Σιτοδείαν. ἔνδειαν σίτου. λιμόν.

Σιγαλόωντα. λάμποντα.

Σιτία. δαπάναι. βρώματα. τροφαί.

Σίκερα. οἶνος σκευαστὸς.

Σκαιότης. μωρία.

Σικάριαι. μάχαιραι λῃστρικαί.

Σκαιὸν. μωρὸν. ἀπαίδευτον.

Σκαιότατος. μωρότατος. ἀφρονέστατος.

Σιπύη. ἡ ἀρτοθήκη.

Σίδιος. καρπὸς.
Σίκερα. σκευαστὸν πόμα. ἢ ἀπὸ οἴνου καὶ μέλιτος. ἢ ἀπὸ σίτου.
Σίμβλειον. ῥῆμα.
Σικωνίταις. τοῖς τὴν στὸν οἰκοῦσιν.
Σίντην. σκώληκα βλαπτικόν.
Σιρὸς. τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν καὶ ἄλλων ὀσπρίων καὶ ὁ λάκκος
Σικιννίζω. ὀρχοῦμαι.
Σιτώνης. ὁ ἀγοράζων τὸν σῖτον
Σίφλος. ψόγος. καὶ σίφλος ὁ ἐπίψογος.
Σιφλώσειεν. ἡ λέξις νεωτέρων. καὶ οἱ μὲν κακώσειεν. οἱ δὲ μώμητον ποιήσειεν. οἱ δὲ γέλωτα ποιήσειε. φλῶ, γάρ ἐστι τὸ ὁρμὴν ἔχω. ὅθεν καὶ οἰνόφλοιξ.
Σκάζει. ὁ τοῖς ποσὶ χωλεύων. ὁ δὲ ἀσθενῶν καὶ σκάζειν λέγεται.
Σκάλλοντες. σκάπτοντες.
Σκαμβὸς. ἄνθρωπος στρεβλὸς. διεστραμμένος. ὁ μὴ ὀρθῶς βαδίζων.
Σκάμανδρος. πηγή.
Σκαρδαμύττειν. τὸ πυκνὰ τοὺς ὀφθαλμοὺς κλείειν καὶ ἀνοίγειν.
Σκαιὰ. ἀριστερά.

Σκαιόν. μωρόν. ἀπαίδευτον.

Σκαίροντα. σκιρτῶντα.

Σκαιός. ὁ ἀπατητικὸς καὶ ἀπαχθὴς καὶ ἀμαθής. παρὰ τὸ σκάζειν τῇ μαθήσει.

Σκανδαλίθρα. ἡ παγίς.

Σκαπάνη. σκαφίον. ὀρύγιον. δίκελλα.

Σκαφείδιον. τὸ λιστάριον τὸ φειδ. δίφθογγος.

Σκαφίδιον. τὸ πλοῖον. ὅτι σκάφην ἐκαλοῦντο πλοῖον διὰ τὴν κοιλότητα.

Σκελετός. ὁ ἀπεξηραμμένος.

Σκεδάσας. σκορπίσας.

Σκεδάζω. ἐκ τοῦ κεδιάζω. τοῦτο ἐκ τοῦ παραχρήματός τι ποιῶ.

Σκέψις. ἐστιν ἡ μετὰ λόγου ζήτησις.

Σκέψις. ἐστι λογισμῶν ἀντίθεσις εἰς τὰ πρακτέα.

Σκευωρούμενος. κατασκευαζόμενος.

Σκευωρία. κατασκευή. ἐπιβουλή.

Σκίρω. χορεύω. ὀρχοῦμαι.

Σκηρωθέν. σκληρυνθέν.

Σκήπτεται. προφασίζεται.

Σκῆπτρον. βασιλικὴ ῥάβδος.

Σκηπτός. κεραυνός. ἄνωθεν διὰ πυρός.

Σκηνώματα. οἶκοι. τόποι. σώματα.

Σκηνή. διὰ τοῦ η διάφορα σημαίνει. κάστρον. παρεμβολήν. καὶ τὴν ἀπὸ ξύλων καὶ περιβολαίων οἰκίαν. τὸ θέατρον. ἡ ὑπόκρισις. ἤτοι τὸ πλάσμα. ἡ ορχήστρα. τὸ σῶμα τοῦ ἀνθρώπου. σκινὴ δὲ διὰ τοῦ ι. ἡ κλίνη.

Σκῆψις. πρόφασις. ἀναβολή.

Σκηπτοῦχος. βασιλεύς. σκηπτροφόρος.

Σκηριπτόμενος. ἐπερειδόμενος. στηριζόμενος.

Σκῆνος. οἰκητήριον. σῶμα παρὰ τὸ σκηνὴν εἶναι τῆς ψυχῆς καὶ οἰκητήριον.

Σκιδναμένου. διασκορπιζομένου.

Σκιερόν. κατάσκιον.

Σκιπανίῳ. σκήπτρῳ. παρὰ τὸ σκηρίπτεσθαι ὅ ἐστιν ἐπερείδεσθαι.

Σκιροφορία. ὄνομα ἑορτῆς ἑλληνικῆς

Σκιμπόδων. κραβάττων.

Σκινδαλμοί. σκώλοπες.

Σκιαδίων. καρούχων.

Σκόλοψ. ἡ ἄκανθα.

Σκόλοπας. ξύλα ὀξεῖα.

Σκολοπισθῆναι. ἀποκτανθῆναι πασσάλῳ.

Σκόροδον. παρότι σκότος ποιεῖ τῷ ἐσθίοντι. καὶ θέρμην σκοροδόντι, ὄν. ἢ παρότι πνεῖ.

Σκληραγωγία. ἄσκησις στενοτάτη θλῖψις παρὰ τὸ σκληρῶς ἄγεσθαι.

Σολώνειον. ἔπος.
Σκοπὸς. ἡ ἔννοια. ὁ νοῦς. παρὰ τὸ σκέπτεσθαι. σημαί-
νει δὲ ὁ. σκοπὸς ὄνους. σκοπὸς καὶ τὸ σημεῖον. καὶ
ὁ τύπος ᾧ πάντες στοιχοῦσι καὶ ἀκολουθοῦσι. σκοπὸς
καὶ ὁ ὑψηλὸς καὶ δύσβατος τόπος ἐξ οὗ καὶ σκοπιά
Σκόπελος. ὑψελὴ πέτρα. ἀφ' οὗ τὰ κύκλῳ περισκοπεῖ
Σκορακίζει. εἰς ἐρημίαν πέμπει.
Σκόλοψ. ξύλον ὀξυνομένον. καὶ οἱ τῶν φοινίκων
Σκοπιαὶ. ὑψηλοὶ τόποι.
Σκόπτει. χλευάζει.
Σκοτομήνη. ἡ ἀσέληνος νύξ. καὶ ἀφώτιστος.
Σκότος. ἐστιν ἀὴρ ἐστερημένος φωτός.
Σκοπτηλός. γελοιαστής.
Σκορακισμός. χλευασμός.
Σκολιούς. ταχεῖς. σκληρούς.
Σκύτους. καὶ σκῦλα. δέρματα.
Σκυτεὺς. ὁ τὰς βύρσας μαλάσσων καὶ ἀπαλύνων.
Σκύτιον. ῥάκος.
Σκυτάλη. βακτηρία. ἡ φραγέλλιον.
Σκυθρωπός. στυγνός
Σκύμνος. ὁ τοῦ λέοντος σκύλαξ.
Σκυλεύσας. προνομεύσας. αἰχμαλωτεύσας.
Σκυδμαίνειν. σκυθρωπάζειν. λυπεῖσθαι. ὀργίζεσθαι.

Σκρινιάριοι. οἱ Χαρτοφύλακες τῶν βασιλικῶν χαρτῶν. σκρινία γὰρ αἱ ἄρκλαι. σκρίνιον δὲ φρυφακτικὴν λάρνακα καλοῦσι ῥωμαῖοι.

Σκυτοδέψης. δερματολάκτης καὶ βυρσοδέψης ὁ τὰς βύρσας ἀπολύνων.

Σκύβαλα. τὰ τῆς καλάμης γόνατα.

Σκυβαλίζεσθαι. κατευτελίζεται. παραρίπτεται.

Σκύβαλον. τὸ δι' ἐντέρων ἐκδιδόμενον. ἢ κόπρος. οἷον. κυσίβαλόν τι ἢ κευθίβαλον.

Σκύλα. τὰ ἀπὸ τῶν ἐν πολέμῳ ἀναιρεθέντων λαμβανόμενα. λάφυρα δὲ τὰ ἐκ τῶν ζώντων.

Σκόλον. σκάνδαλον.

Σκῶπες. εἶδός ἐστι κωνοποειδές.

Σμώδιξ. ὁ μώλωψ ἤγουν τὸ πλῆγμα.

Σμερδαλέος. φοβερὸς. καταπληκτικὸς.

Σμαραγεῖ. ἠχεῖ κτυπεῖ.

Σμύχων. διαφθείρων.

Σμῆνος. τὸ τῶν μελισσῶν σύστημα. λέγεται δὲ καὶ τὸ τοῦ λαοῦ πλῆθος.

Σμῆνος. τὸ μελισσόβοτον.

Σμήρινθοι. σπάρτα λεπτὰ χοινία.

Σμινθοῦροι. τὰς θύρας σαίνοντος.

Σμικρόν. μικρόν.

Σμυχόμενον. καιόμενον. δαπανόμενον.

Σοβαρὸς. ὑβριστής. ἐπαιρόμενος ἑαυτῷ ἀρέσκων.

Σοβαραὶ. λαμπραὶ.

Σορὸς. τάφος.

Σοφιστὴς. κυρίως ὁ σοφιζόμενος καὶ πλαττόμενος προσποιητὴς σοφὸς.

Σόφισμα. ἐστι λόγος σοφιστικὸς ἢ λόγος δολερὸς. ἢ συλλογισμὸς αἱρετικὸς.

Σορὸς. κιβωτὸς. λάρναξ.

Σοβαρεύεσθαι. κατεπαίρεσθαι.

Σοβάδες. ὑπερήφανοι. ἄστατοι.

Σολοικισμὸς. ὅτε τις ἀτέχνως διαλέγεται. ἤγουν βαρβαρίζειν.

Σολοικίζειν. οὐ μόνον τὸ κατὰ λέξιν καὶ φωνὴν ἰδιωτεύειν. ἀλλὰ καὶ ἐπὶ φορεσμάτων. ὅταν τις χωρικῶς ἐνδύεται. ἢ ἀτάκτως ἐσθίει. ἢ ἀκόσμως περιπατεῖ.

Σοφώδης. βουνοειδὴς τόπος.

Σόλος. δίσκος. παρὰ τὸ σεῶ τὸ ὁρμῶ.

Σοφία. παρὰ τὸ σοφῶς. τοῦτο παρὰ τὸ σέβω. ἢ ἡ τὸ φῶς σώζουσα. τῆς οἰκείας φύσεως. ἢ διὰ τὸ σῶα φάσκειν ἤγουν λαλεῖν.

Σοφὸς συνετοῦ διαφέρει. καθ' ὃ ὁ μὲν σοφὸς καὶ συνετὸς πάντως. ὁ δὲ συνετὸς οὐ πάντως σοφὸς.

Σοφὸς. παρὰ τὸ σῶα φεῖν. ἤτοι φάσκειν.

Σοβεῖν. τὸ ἐκδιώκειν.

Σολάριον. ἡλιακὸν.

Σολέμνια. τὰ ὑπὸ βασιλέως ἐν ἐκκλησίαις διδόμενα χάριν μνήμης. ἤτοι ἑορτασικαί.

Σπανίζεται, σκορπίζεται. λειπεῖ. ὑστερεῖται.

Σπάνις. λεῖψις.

Σπιλάδες. αἱ ὕφαλοι πέτραι.

Σπαίρει. ἅλλεται. σκορπίζει. ἐκπνεῖ τὴν ψυχήν.

Σπαργάνοις. δεσμοῖς. φασκίαις. ῥάκεσι.

Σπασάμενος. ἑλκύσας.

Σπάδων. εὐνοῦχος.

Σπαταλᾷ. λίαν τρυφᾷ. ἀσώτως ζῇ.

Σπένδοντας. προσφέροντας. παρὰ τὴν σπονδήν. ἔστι δὲ καὶ τὸ φιλιοῦσθαι. οὕτω γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολεμίων συμβιβάσεις.

Σπένδεται. φιλιοῦται. ἢ θύεται.

Σπέος. σπήλαιον.

Σπερμολόγος. ὁ τὰ σπέρματα συλλέγων. εὐτελής. τὸ μέντοι κύριον πτηνόν ἐστι κολιῶδες ζῶον. τὸ ὄνομα λαβὼν παρὰ τὸ τὰ καταβαλλόμενα σπέρματα ἐκλέγειν δῆλον. παρ' ὃ καὶ οἱ σπείροντες ἐπαμῶνται τὴν γῆν τοῖς σπέρμασιν. ἐκ μεταφορᾶς δὲ ἔλεγον. τοὺς περὶ τὰς ἀγορὰς καὶ τοὺς λιμένας διατρίβοντας. οἳ. τὰ ὁπόσουν ἐκ τῶν σάκκων ἐκπίπτοντα ὄσπρια. χάρια. ἢ ἰλάδας ἐκλέγοντας.

Σπῶ. σημαίνει ζ. σπῶ τὸ σπαίρω. σπῶ τὸ κατασπῶ. σπῶ τὸ σπεύδω. σπῶ τὸ διαχωρίζω. σπῶ τὸ ἐκτείνω. σπῶ τὸ σπάζω. σπῶ τὸ ἀσπάζω.

Σπέρχοντες. ἐπείγοντες.

Σπάθη. τὸ ὑφαντικὸν ἐργαλεῖον. ἀπὸ τοῦ κατασπᾶν τὴν κρόκην.

Σπιλάδες. αἱ διεσχισμέναι καὶ κεκοιλωμέναι πέτραι ὑπὸ τῆς τῶν κυμάτων πλήξεως καὶ αἱ ὕφαλοι πέτραι.

Σπείρω. τὸ εἱλίσσω. ἐξ οὗ σπείρημα τὸ τοῦ ὄφεως εἴλεγμα.

Σπλάγχνον. σημαίνει τὸ ἐντὸς μέλος. τὸ ἔντερον τὸ στῆθος.

Σπεῖραι. πλήθη στρατευμάτων. τάγματα. φάλαγγες.

Σπεῖσαι. ἐκχύσαι. προσενέγκαι. ἀντὶ τοῦ τῷ οἴνῳ περιρράναι.

Σπέρχει. σπουδάζει.

Σπερμολόγος. εὐρυλόγος. ἀκριτόμυθος.

Σπεῖρα. ἱμάτια. ῥάκια. ἢ καὶ ἡ τάξις

Σπεῖος. σπέος. σπήλαιον.

Σπαίρειν. ἀναπνεῖν.

Σπινθῆρες. λαμπηδόνες. ἀποβολαὶ πυρός.

Σπέρμια. πυροὶ καὶ κριθαὶ καὶ πᾶν ὄσπριον.

Σπῖλος. ῥύπος. μιασμός. σπορὰ ὅτι σπῶν ῥέει ἤγουν ἐκρεῖ.

Σποράδην. ἐσπαρμένως ἢ ἐν τοῖς διαφόροις.

Σπονδή. ἔκχυσις οἴνου.

Σπονδεῖαι. ἀγγεῖα. φιάλαι δι᾽ ὧν θύουσι.

Στάδιος καὶ στάδιον. μέτρον ὁδοῦ παρὰ τὸ ἵστασθαι τὸν ὁ=
δεύοντα.
Σταφυλή. παρὰ τὸ στάζειν τὸν πηλὸν ἤγουν τὸν οἶνον.
Σταμίνας. τὰ ὀρθὰ ξύλα.
Σταθερὸν. ἰσχυρόν.
Σταθμῶν. τῶν παραστατῶν τῆς θύρας.
Σταθμοὺς. τὰς ἐπαύλεις.
Σταθμίζω. καὶ ἐστάθμησα. σημαίνει τὸ ζυγοστατῶ. ἐστάθ=
μησα δὲ τὸ ἐμέτρησα καὶ ἠρίθμησα.
Στάθμη. ἡ τρυτάνη. ἡ κανόνη. εἴρηται δὲ στάθμη ἀπὸ
τοῦ σταθμᾶσθαι καὶ στοιχᾶσθαι. σημαίνει δὲ τὸ σπάρ=
τον ὃ οἰκοδόμος ἱστάζει δόμῳ. ἢ τέκτων ξύλῳ. μήριν=
θος δὲ ἐστι σπαρτίον.
Συνεχέστερον. πυκνότερον.
Στεγανώτερον. στερεώτερον. ἰσχυρότερον. πεπυκνωμένον. στ=
βαρώτερον.
Στενωπῶν. στενῶν διόδων ῥυμῶν.
Σταυρὸς. παρὰ τὴν στάσιν καὶ τὸ εὖρος ὃ σημαίνει τὸ
πλάτος. διονεὶ ὁ μῆκος καὶ πλάτος ἔχων. παρὰ δὲ
τῷ ποιητῇ σταυροὶ λέγονται τὰ ἀποξυμμένα ξύλα
ἅπερ καὶ σκόλοπας καλεῖ.
Σταφυλή. τεκτονικὸν σκεῦος
Στέλλω. σημαίνει δ. τὸ ἐπιστέλλω ἐξ οὗ καὶ ἐπιστολή.
καὶ τὸ πλέω ἐξ οὗ καὶ στόλος. καὶ τὸ κοσμῶ ἐξ οὗ
καὶ στολή. καὶ τὸ κρύβω.

Στερέωμα. παρὰ τὸ εἶναι καθ' ὑπερβολὴν ἰσχυρὸν· ἐπὶ γὰρ τῶν κατ' ἰσχὺν ὑπερβαλλόντων τέτακται. καὶ γὰρ τὸ κραταιὸν καὶ ἀνένδοτον στερέωμα εἴρηται.

Στέλεχος. ἀρσενικόν. ξύλου κορμός. στέλεχος δὲ ἕτερον ὁ βλαστός.

Στέρνον. εἴρηται τὸ στῆθος. διὰ τὸ στερρὸν καὶ ναστόν. ὅθεν αἱ μὴ τίκτουσαι στεῖραι λέγονται. ἀπὸ τοῦ στερραὶ εἶναι. καὶ στεῖρα ἡ τρόπη τοῦ πλοίου.

Στέφανος. κόσμος γυναικεῖος ἐπὶ τῆς κεφαλῆς.

Στέατα. λιπάσματα.

Στερέμνιον. τὸ πυκνὸν καὶ στερεόν.

Στέργειν. ἀγαπᾶν. ἐμμένειν.

Στενολέσχης. λεπτολόγος.

Στέγει. βαστάζει. ὑποφέρει. ὑπομένει.

Στείλασθαι. ὁδεῦσαι. πλεῦσαι.

Στέριφος. στεῖρος. καὶ ἄγονος.

Στέλεχος. κορμὸς ξύλου. ἢ κλάδος.

Στελλίον. τὸ τοῦ πελέκεως ξύλον.

Στέαρ. λίπος.

Στερέμνιος. ἰσχυρότατος.

Στεροπήν. ἀστραπήν.

Στερναί. στερεαί.

Στερίσκω. ἀποστερίσκω.

Στείχομεν. πορευθῶμεν.

Στέρνιος. στῆθεσι.
Στατὴρ. νόμισμα.
Στεφάνη. ἀκρώρεια.
Στήλας. ὀρθοὺς λίθους. παρὰ τὸ ἵστασθαι
Στηλιτεύσας. δημοσιεύσας. παραδειγματίσας. ὡς ἐπὶ τῶν στύλων τῶν δημοσιὰ προτιθεμένων.
Στήμων ὁ τοῦ ἱστοῦ τὸ στημόνιον.
Στίφη. πλήθη. συστήματα.
Στίφος. τάξις πολεμική. φάλαγξ. εἰσὶν ἄνδρες δισ.
Στίγματα. πληγαί. τραύματα. ἢ ποικίλματα.
Στίβας. ἡ χαμαίστρωτος εὐνή. καὶ οἱ τῶν δένδρων ἀκρέμονες. στιβάδες. στιβὰς καὶ ἡ τράπεζα καὶ ἡ ἀπὸ ῥάβδων στρῶσις.
Στίβοντες. πατοῦντες.
Στιβάδες. ἀκούβιτα.
Στίχας. τάξεις τῶν ἄλλων.
Στίχουσι. βαδίζουσι.
Στίχος. ἐστι τάξεως δεκτικῆς ἔμμετρον.
Στίχων. τρέχων. διατρέχων.
Στιλπνόν. λαμπρὸν. στίλβον.
Στόμαχος. σημαίνει τὸν φάρυγγα τὸν τοῖς σιτίοις μαχόμενον.
Στοιχείωσις. ἀκριβεστάτη ἐπιτομή.
Στοιχηδόν. κατὰ στίχον.

Στοργή. φιλία.

Στοιχεῖα. ἀθηναῖοι μὲν γράμματα. γραμματικοὶ δὲ πῦρ. ὕδωρ. ἀφ' ὧν τὰ σώματα συνίσταται.

Στορέσας. ὑποστρώσας.

Στοναχάς. στεναγμούς.

Στοχάζομαι. τεκμαίρομαι.

Στρυφνός. οἶνος στυφός.

Στροβεῖ. ταράσσει. κινεῖ. περιφοβεῖ.

Στρόβιλος. ἡ πόλις. καὶ στρόβιλος ἡ νῆσος.

Στραγγαλῶδες. διεστραμμένον.

Στραγγαλία. φιλονεικία.

Στρατόν. αἰχμητήν. τὸν στρατὸν τὸν πολεμιστήν.

Στρατόπεδον, καὶ στρατὸς διαφέρει. στρατόπεδον ὁ τόπος ἐν ᾧ ἡ στρατεια. στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος.

Στραγγαλίας. πλοκὰς διαστροφὰς δυσδιαλύτους καὶ φιλονεικίας.

Στομαργῶα. ἀφωνία.

Στρατιά. τὸ πλῆθος

Στρατεία. τὸ ἀξίωμα. στρατεία καὶ ἡ ἔξοδος.

Στρατολογήσαντι. στρατεύσαντι.

Στρόβιλος. σημαίνει δ'. ἀνέμου συστροφήν. ἢ ὀρχήσεως εἶδος. ἢ τὸν κοχλίαν. ἢ ὄνομα πόλεως.

Στροφάς. ἀντιλογίας. διαστροφάς.

Στρατηγὸς. ἄρχων.

Στρηνιῶ. γαυριῶ.

Στρηνιᾶν. γαυριᾶν. παρὰ τὸ στερεῖν καὶ ἀποσπᾶν τῆς
γνίας ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων.

Στρουμεντάριος. χαρτοφύλαξ.

Στύλος. στήκει ὅλος.

Στύψ. πιεστήριον τὸ ἐκθλίβον.

Στυπεῖον. τὸ τῆς ἐλαίας ὀστοῦν.

Στυγητοὶ. μισητοὶ. βδελλυκτοὶ.

Στυγούμενος. μισούμενος.

Στυγητὴ. μισητὴ.

Στυφελίξαι. σκληρῶς διατίθεσθαι.

Στυγοῦσι. μισοῦσι. φοβοῦνται.

Συβώτης. χοιροβοσκὸς.

Στυγερὸς. φοβερὸς. μισητὸς.

Στωμύλος. λάλος. κόμψος. πιθανολόγος. ευτράπελος.
ἀπατεὼν. κόλαξ.

Σὺ. ἀντωνυμία πρωτότυπον β. πρόσωπον. πτώσεως
εὐθείας. ἐστι δὲ καὶ κλητικὸν.

Σύα. σκρόφα.

Σύαγρος. σῦς. ὗς. χοιραγρωγὸς κάπρος.

Συβαριτικαῖς. τρυφεραῖς. κενοδόξοις. λαμπραῖς.

Συβώτης. χοιροβοσκὸς. ὁ τοὺς σύας βόσκων.

Συβαριτικὴ. τράπεζα.

Συγκατάθεσις. συμφώνησις.
Συγκρίνεται. πρὸς ἰσότητα δοκιμάζεται. παρομιοῦται.
Συγχεῖθι. ὁμονοεῖτε.
Συγκρίνει. συνιστᾷ. παρομοιοῖ. συζευγνύει.
Σύγχυσις. ἀφανισμὸς. τῶν κρινομένων ταραχή.
Συγχεῖ. ἀφανίζει. συμμιγνύει.
Συγκυροῦντα. διαφέροντα. συνεγγίζοντα.
Συγγνώμων. εὐγενὴς. συγχωρητὴς.
Συκοφαντία. ἡ ψευδοκατηγορία.
Συγκροτεῖ. συνάγει. αὔξει.
Συλλήπτορα. βοηθόν.
Συλλήβδην. ἐπίρρημα μεσότητος. σημαίνει δὲ ὑφὲν. ὁμοῦ. περιειλημμένως. συντόμως. ὡς διὰ ὀλίγων πολλά.
Συλλαμβάνει. βοηθεῖ.
Συλλογισμὸς. ἐστι λόγος ἐν ᾧ τεθέντων λόγων τινῶν ἕτερόν τι ἐξ ἀνάγκης περαίνεται.
Σύμβολον. διὰ τὸ συμβάλλεσθαι αἰσθητὸν τι ἀντὶ νοητοῦ. οἷον ἄρτος καὶ οἶνος.
Σύμβολον. τὸ σημεῖον. καὶ τὸ συμπόσιον.
Σύμβασις. φιλία.
Συμβαλομάχος. ὁ μάχιμος πρὸς φιλονεικίαν
Συμφορὰ. παρὰ τὸ φορά. φορὰν δὲ λέγουσιν οἱ Ἕλληνες τὴν ψυχήν. συμφορὰ οὖν ἐστιν ἡ ἀπό τινος ψυχῆς βεβηκυῖα.

Συμφύρεται. συμμίγνυται. συνμιαίνεται.

Συμφυᾶ. ὁμοφυᾶ. ἀντὶ τοῦ μιᾶς καὶ τῆς αὐτῆς φύσεως.

Σύμφημι. συνομολογῶ. συναινῶ.

Συμμύστης. ὁ τῶν αὐτῶν μυστηρίων συνίστωρ καὶ ἐπόπτης.

Συμβαίνοντα. ἁρμόζοντα. συμφωνοῦντα.

Συμβιβάζων. συλλαλῶν. διδάσκων. εἰς φιλίαν ἄγων.

Συμμορία. πλῆθος. σύνταγμα. φατρία. χορός.

Σύμπτωμα. συμβεβηκώς.

Συμπνοίας. ὁμονοίας.

Συμφέρομαι. συντίθεμαι. ἀκολουθῶ.

* Συμβαλεῖν. διακρῖναι. νοῆσαι. συγκρῖναι. μίξαι. ἀμφιβάλλειν.

Σύμβασις. εἰρήνη. ἐπάνοδος εἰς φιλίαν.

Συμβατήριοι. εἰρηνικοί. φίλοι.

Σύμπαντα. ὁμοῦ πάντα.

Σύμπτωμα. συνάντημα. ἐξάπινα.

Συμβολικῶς. κατὰ σύγκρισιν παρῳχηκότος ἢ μέλλοντος.

Συμβιβῶ. διδάζω. ἐπιστήσω. νοῆσαι ποιήσω.

Συμπεριφέρεται. συναπάγεται.

Σύμβολον. αἰνιγτόν.

Σύμφωνον. ὅμοιον. ἴσον.

Συμβεβηκώς. ἐστι ὃ γίνεται καὶ ἀπογίνεται. χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

Συμβέβληται. συμφέρει. συνήνεγκεν. ἁρμόζει.

Σύμφορον. συμφέρον. ὠφέλιμον.

Σύνειμι. νοῶ. γινώσκω.

Συμπτύει. συγκλείει. συνάγει.

Συμφυλετῶν. ὁμοεθνῶν. συγγενῶν.

Συναινῶ. ἐκ τῆς σὺν προθέσεως καὶ ἐκ τοῦ αἰνῶ τὸ λέγω. ὃ σημαίνει τὸ συλλαλῶ καὶ συμβουλεύω.

Συνδυάζω. καὶ ἐνδοιάζω διαφέρει. συνδυάζω τὸ διὰ ὑψιλοῦ γραφόμενον σημαίνει τὸ μεθ᾽ ἑτέρου διαλεγόμενον καὶ προσομιλῶ. τὸ δὲ ἐνδοιάζω τὸ διὰ τῆς οι διφθόγγου τὸ διχοστατῶ καὶ δισγνωμῶ.

Συνασμένιζε. συνευφραίνου.

Συνιζῆσαι. συγκαθεσθῆναι.

Συνέξει. σημαίνει τὸ συγκρατήσει.

Σύνθετον. τὸ ἐξ ἑτεροειδῶν πραγμάτων συγκείμενον.

Συνομορία. παρὰ τὸ ὅρος ὃ σημαίνει τὸν ὁρισμόν.

Συνείρει. συῤῥάπτει.

Συνάορος. ἡ γαμετή.

Συνομῶται. συμφατριασαί. παρὰ τὸν ὅρκον.

Συνανακραθεὶς. συναφθεὶς. συγκαιρασθεὶς.

Συνεπεράνθη. ἐτελειώθη. πέρας τι ὑπεβλήθη ἢ πέρας ἔλαβε.

Συντροχάσει. καταντήσει. πληρωθῇ. ἐκ μεταφορᾶς τῶν τροχῶν.

Συνίστωρ. γνώστης. μάρτυς. συνειδὼς ἐπὶ πράγματος.

Συνειλεγμένων. συναθροισθέντων.
Συναγηγερμένων. συναχθέντων.
Συνοιά. ἐστι σύνεσις. ἡ νοημάτων σύνοδος.
Συνείπετο. συνηκολούθει.
Συνεστιάτο. συνευωχεῖτο. συνηρίστα.
Συνεκδοχικῶς. συλληπτικῶς.
Συντευξόμενοι. συντυγχάνοντες
Σύνευνον. σύγκοιτον.
Συνέριθον. συνισουργόν. συνεργόν.
Συνεοχεύς. ὁ συνέχων τὸν κόσμον. ἢ ὁ τὸν οἶκον ἐπι=
κρατῶν. φύλαξ. δεσπότης.
Συνομωσία. ἡ μεθ᾽ ὅρκου φιλία.
Συνθέει. συντρέχει.
Συνειλόχασι. συνήθροισαν.
Συνδεσμῶν. συνδέσμων.
Συνάφεια. σύζευξις. συζυγία. ἕνωσις. κοινωνία. συν-
εργία.
Συνελόντι φῆσαι. συντόμως εἰπεῖν.
Συνουσία. σύμμιξις.
Συνεδριάζων. συγκαθήμενος.
Συμμυήσασα. συντελέσασα. συνάψασα.
Συνελῶν. συναγῶν.
Συνεκόμισαν. συνήγαγον.
Σύμφωνα. συνοδά.
Συνεπιθασθαι. συνεπεκτείνεσθαι.

Συναιρόμενος. συνερχόμενος. συνβοηθῶν.
Συνῳδία. ἡ ψαλμῳδία. συνοδεία ἡ συνοδοιπορία.
Συνωρὶς. ξυνωρὶς. ζυγή.
Συναράσσει. συγκροτεῖ. συμπίπτει.
Σύνες. νόησον. γνῶθι.
Σύνετε. νοήσατε.
Σύνθεμα. ῥῆμα. ἢ σημεῖόν τι ἐπὶ γνωρισμῷ τῶν οἰκείων διδόμενος.
Συναλιαθέντες. συναχθέντες.
Συνοίσοντα. συνενέγκοντα. ἢ συνεισφέροντα.
Συναλίσας. συνάξας. συναθροίσας.
Συνδιάζειν. συνδιάγειν.
Συνδιαιωνίζειν. συνδιάγειν εἰς αἰῶνας.
Σύννους. κατηφής.
Συναλειφή. σύγκρασις. σύγχυσις.
Συνάψει. συνδήσει.
Συνδεδραμηκότων. συνελθόντων.
Σύνοδος. συναγωγή. συνέλευσις. πολλῶν παρουσία.
Συνετελέσθησαν. ἐπληρώθησαν. τέλος ἔλαβον.
Συνέχεεν. ἐτάραξεν. παρεσάλευσεν. ἔμιξε.
Συνανοίσηται. συνενέγκηται.
Συνελάβετο. συνεβοήθησε.
Συνεχόμενος. ἀρρωστῶν. ἢ κρατούμενος.
Συνθήκη. ποίημα μάθημα. καὶ τὸ σύστημα τῶν μορίων. τοῦ σώματος.

Συνεσηκώς. συνηρμένος.
Σύριγξ. σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν καὶ
τὸ πάθος. καὶ τὴν δορατοθήκην.
Συνιῶν. νοῶν. φρονῶν.
Συντόνου. ἰσχυροῦ.
Συνεσυρμένα. συνηρμένα.
Συνεσκιαμένον. ἐσκεπασμένον.
Συνετιεῖσι. σοφίσεισι.
Σύνθεσιν. ἁρμονίαν. κόλλησιν.
Σύνδεσμον. πλοκήν. ὁμόνοιαν.
Συνέλθωμε. συνάχθωμε.
Συνεχόλησε. συνήθροισε.
Συνίστησι. βεβαιοῖ. φανεροῖ. διαδείκνυσι.
Συνιᾶσι. νοοῦσιν. συνέρχονται.
Συνήλασε. συνώθησε.
Συνιέναι. νοεῖν.
Συνήθλησαν. συνηγωνίσαντο.
Συναγελάζεται. συνδιαίτᾶται. διανέμεται. συνδιάγει.
Συχνοί. πολλοί.
Συνολικὴν. ἀναληπτικὴν. ἤγουν ἀναπνευστικήν.
Συνεπιτιθεμένων. συνεδρευόντων. ἐπιτηρούντων.
Συνοπαδοί. συνακόλουθοι.
Σύνεργος. ὁ ὁμότεχνος.
Συνέριθοι. συνυφάντριαι. συνεργάτιδαι.
Συνηρεφή. συσκιά.

Συνηθείῃ. συγχαρείῃ.
Συνεχῶς. ἐνδελεχῶς. πυκνὰ πολλά.
Συνεκτικώτατα. κεφαλαιωδέστατα. συνέχοντα διακρατοῦντα.
Συνέρρεον. συνέτρεχον.
Συνηγμένοι. συνελθόντες.
Συνέντες. γνῶντες. γενονηκότες.
Συνασπίζων. συμμάχων.
Συνεύσεως. ἐπισκέψεως.
Συστέλλεται. κρύπτεται.
Συνάχθεται. συλλυπεῖται.
Συνειλοῦνται. συστρέφονται. συμπλέκονται.
Συστάδην. ὁμοῦ.
Συνδυάσω. συζευχθῶ.
Συοφορβός. σύας τρέφων ἤγουν χοίρους.
Συοφορβία. ἀγέλη χοίρων.
Συρρείσης. συρρεύσης.
Συρφετοὺς. φρυγανώδεις. κοπρώδεις. ἀγυρτώδεις ὄχλους. ἢ λόγους.
Συνηρεφὲς. συσκεπασμένος.
Σύριγγος. αὐλοῦ. ἢ δόρατος ἢ θήκης.
Σύριγγες. πανδούρια ἐκ καλάμων.
Σύσκηνοι. σύνοικοι.
Σῦς. ὗς. σύαγρος. χοίραγρος.
Σύστρεμμα. στασιαστῶν πλῆθος.

Συστάδεις. συνόδους.

Συστήματα. συναγωγαί. πλήθη.

Συφεός. τόπος ἐν ᾧ οἱ σύες τρέφονται.

Συχνά. συνεχῆ. πυκνά.

Σφάς. αὐτούς.

Σφαδάζοντος. σπωμένου. ταρασσομένου. μετ' ὀργῆς λυπουμένου. ἀλγοῦντος.

Σφέας. αὐτούς.

Σφαιρηδόν. κυκλοειδῆ. ὡς σφαῖραν.

Σφαιρωτήρ. τὸ λεγόμενον λωρίον. σφαιρωτὴρ δὲ λέγεται ἐπειδὴ τὸ δέρμα πολλάκις κυκλοειδὲς ἀπαρραζόμενος ὁ τεχνίτης τοῦτο τέμνει.

Σφαιρωτήρ. σανδάλιον. ζηνίχιον. κόμμα λωρίου.

Σφακελλίζοντες. διασπῶντες. πηδῶντες.

Σφαδάζειν. βράσσειν. συνθανατεῖν.

Σύφαρ. τὸ γῆρας.

Σφάκελα. σφυγμός. καὶ παλμός. καὶ ἡ τοῦ μυελοῦ σῆψις σφακελισμός λέγεται.

Σφαλερά. ἐπικίνδυνος.

Σφέτερον. τὸν αὐτόν. τὸ ἴδιον.

Σφετέρους. ἰδίους. οἰκείους.

Σφέλας. τὸ ὑποπόδιον.

Σφετερίζεται. ἰδιοποιεῖται.

Σφενδόνη. τὸ σφενδόβολον. καὶ τοῦ δακτύλου τὸ περιφερές.

Σφηνοπώγων. ὁ σπανός.

Σφῆλαι. πλανῆσαι. βλάψαι. ἀπατῆσαι.

Σφηνοῦται. φράττεται. στρεβλοῦται.
Σφόδρα. πάνυ.
Σφῆσιν. ἑαυτοῖς. ταῖς ἑαυτῶν.
Σφίγγα. ἁψῖς. κρικέλ.
Σφονδύλου. τραχήλου.
Σφραγὶς. σημαίνει. τὸ δακτύλιον τὸ σφραγίζον. ὁμοίως καὶ τὸ σφηροῦν.
Σφοδρῶς. δεινῶς. χαλεπῶς.
Σφοδρὸς. ὄνομα ἀρσενικὸν ἐξ οὗ παρήχθη καὶ τὸ σφοδρῶς ἐπίρρημα μεσότητος. σφοδρα δὲ θηλυκὸν καὶ σφοδρὸν οὐδέτερον ἐξ ὧν καὶ τὸ σφόδρα ἐπίρρημα ἐπιτατικόν.
Σφοῦ. ἑαυτοῦ.
Σφριγᾷ. ἀκμάζει. νεᾷ. ἀνθεῖ.
Σφρίγοντι. ἀνθοῦντι.
Σφραγὶς. σημεῖον. σήμαντρον.
Σφρίγων. σφύζων. βράζων. ἀκμάζων.
Σφυρὰ. τὰ ἀπολήγοντα μέρη πρὸς τῷ ἀστραγάλῳ καὶ ἐκ πλαγίων ἐξέχοντα τῆς κνήμης καὶ τῆς περόνης. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν χαλκευτικῶν σφυρῶν.
Σφυρὸν. τὸ ἐπάνω τῶν στραγάλων ἐν κύκλῳ πέλμα.
Σφῶ. ὑμεῖς.
Σφυρήλατος. σφύραις ἐληλαμμένος. χωνευτός.
Σφυγμὸς. φλεγμονή. παλμός. ζέσις.
Σφῶν. αὐτῶν. τῶν δύο αὐτῶν.
Σφαραγεῦντο. εἶχον. ἐπεμπον.

Σχέσις. ἡ ἐγγύτης. καὶ ἡ ἀγάπη. καὶ σχέσις ἡ κράτησις.
Σχέσει. φιλία.
Σχέδιον. τὸ ἐξ ἑτοίμου καὶ προχείρου γινόμενον.
Σχετλιαστικόν. ὀδυνηρόν. ἐπαχθές.
Σχετικόν. πρός τινα ἕτερον σχέσιν ἔχον.
Σχετλιάζει. δυσφορεῖ. δυσχεραίνει. βαρεῖται ἀποδυσπετεῖ.
Σχέδιοι. εὐτελεῖς.
Σχεδόν. ἐγγύς.
Σχισαί. τὰ ὑποδήματα.
Σχεδιάζει. ἐκ παρατυχόντως λαλεῖ καὶ ἀσκέπτως.
Σχέσις. μετουσία. συνάφεια.
Σχεδιασθεῖσα. παραχρῆμα ῥηθεῖσα.
Σχετικῶς. οἰκειοτικῶς.
Σχέτλιος. ἄπορος. θλιβόμενος.
Σχεδία. μικρὰ ναῦς.
Σχετλιασμοί. δυστροπεῖαι. δυσθυμίαι ὀδυνηραί.
Σχηματιζόμενοι. προσποιούμενοι σχῆμα ἐπιδεικνύμενοι.
Σχήσουσι. σχῶσι. κρατήσουσι.
Σχοῖνος. τὸ βροῦλον.
Σχόλιον. διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι πρὸς σαφεστέραν ἑρμηνείαν τῶν δυσνοήτων ὀνομάτων ἢ ῥημάτων ἐπὶ τοῖς λογίοις σωφρόνως ἢ δικαίως.
Σχόλια. σεμνολογήματα.
Σχολαιότερος. ἀργοτέστερος. βραδύτερος. ἡσύχως περιπατεῖν.

Σχοίνισμα. μέτρον. μερὶς. κληρουχία.
Σχοίνῃτε. νομίσητε. ὑπολάβητε.
Σχοῖνος. μέτρον γεωμετρικὸν ξ σταδίων.
Σχολὴν. διατρίβην. ἐγχρονισμὸν.
Σχολὴ. οὐχ ὁ τόπος ἐν ᾧ σχολάζουσι περὶ παιδείαν. οὐδὲ αὐτὴ ἡ ἐν λόγοις ἐνδιατριβή. ἀλλὰ ἣν οἱ πολλοὶ καλοῦσιν εὐκαιρίαν. τὸ δὲ εὐκαιρεῖν βάρβαρον. καὶ γὰρ ἀντὶ τοῦ σχολὴν ἄγειν λέγει εὐκαιρεῖν.
Σχόλη. ἡ ἀργία. καὶ χολὴ τὸ νέφρον καὶ τὸ πάρμα.
Σῶμα. διὰ τὸ σῶον εἶμα ἢ ἅμα. ἢ παρὰ τὸ σῆμα ὃ σημαίνει τὸν τάφον κατὰ πλάτωνα. τάφος γάρ ἐστι τὸ σῶμα τῆς ψυχῆς. δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι.
Σορὸς. ἐν ᾧ τὸ σῶμα ῥεῖ ἤτοι καταῤῥεῖ.
Σωρὸς. ἐπὶ τῶν λίθων καὶ σίτου καὶ λοιπῶν συναγωμένων. τὸ σω μέγα. ἐπὶ δὲ τοῦ τάφου τὸ σο μικρὸν.
Σωρεύει. συνάγει.
Σῶκος. βροχὸς. ἰσχυρὸς
Σῶμα. πᾶν τὸ τεθνηκός. τὸ δὲ τοῦ ζῶντος δέμας λέγεται διὰ τὸ συνδεδέσθαι τὴν ψυχὴν.
Σωρείαν. πλῆθος. βούνισμα.
Σῶον. ὁλόκληρον. ὑγιῆ. ἀκέραιον.
Σωρειδὸν. ἀναριθμήτων ἐπὶ τὸ αὐτὸ.

Σῶς. σῶος. ζῶν.
Σώφρων. ὁ ἀπαθής.
Σωφρονιστής. νουθετητής. παιδευτής.
Σωφροσύνη. σοφία. ἐγκράτεια. ἐπιθυμίας αἰσχρᾶς ἐκκοπή.
Σωφροσύνη. διὰ τὸ σῶα φρονεῖν. ἢ παρὰ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου.
Σῶσόν με. τοῦ ῥῦσαι με διαφέρει. σῶσον νόσων καὶ πειρασμῶν. ῥῦσαι αἰχμαλωσίας καὶ τῶν δαιμόνων.
Σώφρων. λέγεται ὁ ἀπαθής. πόρνος δὲ ὁ ταῖς ἡδοναῖς ἐξελκόμενος καὶ ἀλισκόμενος. τοῖς δὲ λογισμοῖς ὑπεραγωνιζόμενος

## Αρχὴ τοῦ Τ.

Τὰ ἁνδάνοντα. τὰ ἀρέσκοντα.
Τὰ ἀμείνω. τὰ κρείττονα.
Τὰ αἴσχω. τὰ χείρω.
Ταλαίνης. ταλαιπώρου.
Ταῦρος. ὁ ὑπὸ τῶν ὀρχέων τόπος.
Ταβέρνια. καπήλια.
Τὰ βάθη. τὰ ἀχώρητα. τὰ ἀκατάληπτα.
Ταινία. διάδημα. κεφαλῆς ἱερέων.

Ταινίον. ἀττικῶς. τὴν στηθοδέσμην. τουτέστι περιτραχήλιον κόσμον.

Τάργυνον. τήγανον.

Τὰ διαβούλια. τοὺς διαλογισμούς.

Τὰ δέοντα. τὰ πρέποντα καὶ ἁρμόζοντα.

Τὰς δέλτους. τὰς κύκλους. δέλτοι δὲ παρὰ τὸ δηλοῦν τι.

Ταῖν θέαιν. ταῖς θεωρίαις δυϊκῶς.

Ταινίαι. ζῶναι.

Τὰ ἐπιτηδεύματα. τα ἐπιῤῥήματα.

Τακτικοῖς. στρατιωτικοῖς.

Τὰ κατάκλιτα. τὰ εἰς ἀνάκλισιν ἐπιτήδεια. ἢ κλίνας. ἢ θρόνους.

Ταλαντεύουσι. σταθμίζουσι.

Ταλανίζει. θρηνεῖ. ἄθλιον ἀποκαλεῖ.

Ταλαιπωρία. μοχθηρία.

Ταλαεργόν. ὑπομονητικὸν εἰς ἔργον.

Τάλαντον. σημαίνει δ. τὸ ζύγιον. τὸν σταθμόν. τὸ βάρος. καὶ τὸ χάρισμα.

Τάλαν. διὰ τοῦ ν. τὸ ἐπίρρημα διὰ δὲ τοῦ σ ὁ ταλαίπωρος.

Ταλαίπωρος. παρὰ τὸ τέλας καὶ τὸ πηρὸς ὃ σημαίνει τὸν τυφλόν. ταλαίπωρος ὁ κακοπαθῶν περὶ τὴν ἐργασίαν τῶν πόνων.

Ταλαντον. ζυγον. ὁλκὴν. σαθμὸν. ρ λιτρῶν.
Ταλασίαν. ἱερουργίαν.
Ταμιεῖον. κοιτῶνα ἢ κελλάριον.
Ταμιείας. ταμιοῦχος. διοικητής. δεσπότης. οἰκονόμος. φύλαξ.
Ταμὰ. τὰ ἐμὰ.
Ταμιεύεται. διοικεῖται. ἀποκρύπτει. φυλάττει.
Ταμόντες. ποιήσαντες.
Τανύσας. ἁπλώσας. ἐκτείνας.
Τᾶν. ἑταῖρε. φίλε.
Ταντάλιοι. τρομικοί.
Ταξίαρχος. ἡγεμών. στρατοπεδάρχης.
Ταξάμενοι. ὁρίσαντες.
Τάξιν. ἀκολουθίαν. τὸν ὁρισμὸν τὴν ἐποφειλομένων χρημάτων καταβολήν. τὸ στρατιωτικὸν σύνταγμα. ἐξ οὗ καὶ ταξεῶται καὶ ταξείδιον.
Τὰ ὅπλα τοῦ φωτός. αἱ τῶν ἀρετῶν ἐργασίαι.
Τάραντος. τάραχος ἐντός. ἢ ἐκ τοῦ τείρω τὸ καταπονῶ. ἢ βλάπτω. ἡ καταπεπονημένη. ἡ βλαβεῖσα.
Τάρταρα. τὰ διήκοντα μέχρι τῶν ἐσχάτων τῆς γῆς.
Ταρσός. καλαθίσκος ὁ ἐν τοῖς τυροκομοῦσιν ἐκτυπούμενος τυρὸς ὁ καὶ ταλαρὸς καὶ ψυχὸς καὶ ψυκτὴρ διότι ἐν αὐτῷ τὸ γάλα ψύχεται.
Τάπητες. παρὰ τὸ ἐν δαπέδῳ στρώννυσθαι.

Τάπης. σημαίνει τὸ ἐπίῤχιον

Τὰ προσπίπτοντα. τὰ ἀπαντῶντα. τὰ συμβαίνοντα.

Ταρσὸς. στῖφος ποδῶν.

Ταριχεύουσαι. τήκουσαι. ἰχνοῦσαι. ψυχοῦσαι.

Ταρχύσωσι. θάψωσι.

Τάῤῥοθος. ἐπιτάῤῥοθος. βοηθός.

Ταρσὸς. ἄκρον τῆς χειρὸς. καὶ πόλις κιλικίας.

Τάρταρος. ὁ κατώτερος τόπος τοῦ ᾅδου

Ταύτῃ τοι. τούτῳ τῷ τρόπῳ. τούτου χάριν. ταυτὶ. ταῦτα.

Ταυτοεπεῖν. ταυτολογεῖν.

Ταυτότητος. ἀπαράλλακτος. καὶ φυσικῆς κοινωνίας.

Ταύτῃ. οὕτως. τούτῳ τῷ τρόπῳ.

Ταυτὸν. ὅμοιον καὶ παραπλήσιον.

Ταῦ. ὅτι ἐκπεταμένους ἔχει τὸ στοιχεῖον τοῦς χαρακτῆρας καὶ τὰς ἐκτυπώσεις. ἀπὸ γὰρ μακρᾶς τῆς ἄνω καὶ τοῦ ι. τὸ γράμμα ἐστιν. ὅθεν καὶ ταὼς ὁ πεταμένα ἔχων τὰ πτερὰ. τὸν δὲ τοῦ ἀλλιροθίου πέλεκυν φησι μιμησάμενος. ἐνετυπώσατο τὸ γράμμα.

Τάφρος. βαλλάτος. τὸ περὶ τὸ τεῖχος ὄρυγμα. τράφος.

Τάφος. μνημεῖον ἐν ᾧ τίθονται τὰ λείψανα.

Ταχινοί. ὀξεῖς γοργοί.

Ταχυναυτεῖ. ταχέως πλέει.

Τάων μοι. τούτων μοι.

Τανηλεχές. ὁ αἰώνιον κοίμημα ἔχων.
Τάχα. ἐπίρρημα μεσότητος. νῦν. ταχέως καὶ τάχιστα.
Τέγγει. βρέχει.
Τέγγουσα. βρέχουσα. ὑγραίνουσα.
Τεγχθεῖσα. βρεχθεῖσα.
Τέγος. στέγη. οἴκημα.
Τεῆς. τῆς σῆς.
Τεθήπασιν. ἐξεπλάγησαν.
Τεθηπότες. ἐπτοημένοι. δειλιάσαντες. ἐκπεπληγμένοι.
Τεθηγμένοι. ἠκονημένοι.
Τεθηλότα. θάλλοντα. βλαστάνοντα.
Τέθραυσται. πέπληκται. κέκλασται.
Τέθριππον. ἐκ τεσσάρων ἵππων ἅρμα.
Τέθριπποι. τεθράϊπποι. κατὰ δὲ συγκοπὴν τέθριπποι.
Τεθρυμμένον. σημαίνει κατακεκομμένον. ἐκ τοῦ θρύπτω.
Τείρω. σημαίνει β. τείρω τὸ καταπονῶ. καὶ τείρω τὸ κόπτω. ἐξ οὗ καὶ ἀτειρὴς καὶ ἀτέραμα καὶ ἔτειρε.
Τείρεται. καταπονεῖται. βλάπτεται.
Τείρεα. ἄστρα.
Τέκος. τέκνον.
Τέκμαρτον. τέλος.
Τείσις. ἡ ποινή. ἀπὸ τοῦ τίω. τίσις δὲ ἡ τιμὴ ἀπὸ τοῦ τίω.

Τεκταινόμενος. κατασκευάζων.
Τεκμήριον. ἀλήθινον σημεῖον.
Τέκμωρ. τέλος. σημεῖον.
Τέκεσι. τέκνοις.
Τεκμαίρεται. εἰκάζει. ϛοχάζεται.
Τέλος. σημαίνει δ΄. καὶ πέρας καὶ τὸ τέλος τὸ διδόμενον τῷ βασιλεῖ. καὶ τὸ δαπάνημα. ὅθεν καὶ πολυτελὲς τὸ πολὺ ἀνάλωτον. καὶ τὴν ἀρχὴν ἤτοι τὸ ἄρχειν. οἱ ἐν τέλει καὶ ἀξιώματι.
Τέκτων. λαοξόος. ὁ τῶν ξύλων.
Τελετή. θυσία.
Τέλματα. τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος.
Τελεσιουργεῖ. τελειοῖ τὸ ἔργον εἰς πέρας ἄγει.
Τελώνης. ὁ φορολόγος.
Τελεῖ. γίνεται.
Τεοὶ. σοί.
Τέλμα. τόπος πηλώδης ὕδωρ ἔχων. ἢ βάθρα.
Τεὸν. τὸ σόν.
Τέμπλα. ἐπίσημα.
Τελεσφόρος. τέλειος. ἢ μάντις. ἢ ϛασρίμυθος.
Τελέθουσι. γίνονται. μέλλουσι.
Τελαμὼν. ἀναφορεύς. ὅπερ ἐστὶν ὁ λῶρος ὁ τὸ ξίφος καὶ τὸν θυραιὸν βαϛάζων.

Τελχῖνες. φθονεροὶ. βάσκανοι. δαίμονες.
Τέλσον. ἀρούρης. τὸ τέλος τῆς γῆς.
Τεμένη. ναοὶ. ἄλση. ἱερὰ ἀφωρισμένα κατὰ τιμὴν χωρία.
Τερμιόεσσα. ἡ μεγάλη.
Τένθης. ὁ ὀξυπείνης καὶ γαστρίμαργος. οἱ καὶ ἀττικοὶ τένθην καλοῦσι τὸν γαστρίμαργον.
Τέναρος. κακοῦργος. συκοφάντης.
Τένοντος. νεύρου.
Τερέμινθος. εἶδος φυτοῦ
Τέμπη. μεταξὺ τῶν θετταλίας ὀρῶν. καὶ περὶ τὸν ὄλυμπον. καὶ τὴν ὄσσαν στενά. καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσι στενώταται διεκβολαί.
Τεναγῶδες. τόπος ἐλαφρῷ ὕδατι καλυπτόμενος.
Τετράφθω. τραπέσθω.
Τέττιξ. μουσικώτατον. ζῶον.
Τέρας. θαῦμα ὑπερφυές.
Τετρήχει. ἐτραχύνετο.
Τερθρεία. πονηρία. περιπάθεια.
Τερετίζοντα. ᾄδοντα. μελῳδοῦντα. ἐκ μεταφορᾶς τοῦ τέττιγος ἢ χελιδόνος.
Τερατείας. ψευδολογίας.
Τετρακτὺς ἐστιν ἣν καὶ ὅρκον οἱ πυθαγόρειοι ποιοῦνται. βυθός. στιγμή. νοῦς. καὶ ἀλήθεια.

Τερθρία. φλυαρία. ματαιολογία.
Τερίδων. σκώληξ ξυλοτρώκτης.
Τέρμονα. φραγμόν. τέλος.
Τερψίματα. ᾠδαὶ ἀπατηλαί. ᾄσματα.
Τερασκόπος. μάντης.
Τέρμα. τέλος ὅρος καπηρ. ἢ τὸ κάτω τέλος τοῦ ὄρους.
Τέρματι. τέλει. τελευτῇ.
Τέρασι. σημείοις.
Τεράσια. θαυμαστά. παράδοξα.
Τερπικέραυνος. ὁ τοῖς κακοῖς τερπόμενος ἢ τῶν κεραυ-
νῶν.
Τέρετρον. τρυπάνιον. καὶ Χοινίον πλοίου.
Τελαταρχία. ἡ τῶν τελευτῶν ἄρχουσα.
Τετυφῶσθαι. μεμηνέναι.
Τέτυφωται. μέμηνε. ἐξέπληρεν.
Τέτρωροι. τετραΐπποι.
Τέτυκται. κατεσκεύασαι.
Τετραμμένοι. τραπέντες ἢ προσέχοντες.
Τέτλαθι. ὑπόμεινον.
Τετρυφάλια. ἡ περικεφαλαία.
Τετριγότας. τρίζοντας
Τετρωμένη. πληγεῖσα.
Τετελεσμένων. μιασμένων.

Τέταχας. ἔταξας.
Τετρόπωται. νενίκηται. ἥττηται.
Τεράψομαι. τραπήσομαι.
Τετάφατε. ἐθάψατε.
Τετραμμένοι. τραπέντες. ἢ τὰς ὄψεις πρὸς ἑαυτοὺς ἔχοντες.
Τετρυχομένος. δεδαπανημένος ἐν κακοῖς.
Τεῦτλον. λάχανον.
Τεῦξαι. κατασκευάσαι.
Τεύχω. κατασκευάζω.
Τευκτὸν. χειροποιητὸν.
Τεύχεα. σκεύη. ὅπλα.
Τεύχοντες. κατασκευάζοντες.
Τεφρώσας. ἐμπρήσας. σποδώσας.
Τέως. σημαίνει τὸ τηνικαῦτα καὶ προμικροῦ.
Τῇδε. ἀντὶ τοῦ ἐκεῖσε ἢ ἐνταῦθα. καὶ ἔστι ἐπίρρημα τοπικὸν.
Τῇ ἀβρότητι. τῇ ὑψηλότητι. τῇ μεγαλειότητι.
Τῆλε. πόρρω. μακρὰν.
Τηλοῦ. ὕψου.
Τῇ ἐνδομυχούσῃ. τῇ ἔνδον κεκρυμμένῃ.
Τηλυγετὸς. μονογενὴς.
Τηλαυγὲς. λαμπρὸν. διαυγὲς.

Τηλαυγῶς. λαμπρῶς. ἐκ τοῦ μακρὰν θεωρεῖν.
Τημελῶ. τὸ ἐπιμελοῦμαι.
Τήπω. στερήσεις.
Τηλαύγημα. ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.
Τηλέπαθος. μακρὰν ἐφεστηκώς.
Τημελούμενον. φιλοκαλούμενον.
Τῆμος. τότε. τηνικαῦτα.
Τήρωνος. νεοσυλλέκτου.
Τιτᾶνος. πόλις καὶ ἡ κονία τοῦ μαρμάρου ἤτοι ἄσβεστος.
Τηνικαῦτα. τότε.
Τὴν κύλικα. τὴν φιάλην.
Τὴν φειδώ. τὴν φείδεσθαι.
Τήν δε. ταύτην.
Τῇ ὀρέξει. τῇ ἐπιθυμίᾳ.
Τῇ πρὸς ἀκτῖνα. τῇ ἀνατολῇ.
Τῆς ἄλης. τῆς πλάνης.
Τί δῆτά σοι. τί σοι.
Τιβηνὴ. ὁ τρίπους. ὁ τρεῖς βάσεις ἔχων.
Τίτλος καὶ τιτλάριον. γραφή τις ἢ διαστολὴ ἐκ τοῦ διαστέλλειν καὶ χωρίζειν.
Τῖφος. ὁ κάθυγρος τόπος.
Τίδῆτα. σύνδεσμος παραπληρωματικός. κεῖται καὶ κοσμήσεως ἕνεκεν. ἀντὶ τοῦ ἂν ἢ τοῦ μήν.

Τὶ ὅτι. ἵνα τί.

Τί. διὰ τί. ἕνεκεν τινος.

Τὸ τί. σημαίνει ὄνομα οὐδέτερον ἐρωτηματικόν. καὶ ἐπίρρημα ἐπιτάσεως. σημαίνει καὶ αἰτίαν.

Τιμωρὸς. ἔκδικος.

Τιάρα. φρύγιον. πιλίον βαρβαρικόν.

Τηθὺς. τὸ ὕδωρ.

Τιθηνούμενος. τρέφων. τιθηνὸς γὰρ ἡ τροφὸς. καὶ τιτθοὶ οἱ μασθοί. καὶ ὑποτίτθιοι γαλακτούμενοι.

Τιθασσεύει. ἡμεροῖ. πραΰνει.

Τιμηουλκῶν. ἕλκων τὴν τιμὴν τουτέστιν βαρυτιμῶν.

Τιμαλφέστερα. πολυτελέστερα. τιμιότερα. κοσμιότερα.

Τιννύειν. ἀποδιδόναι. εἰσπράττειν.

Τινάξας. ἀπορρίψας.

Τίνυσθον. ἀπαιτεῖσθον.

Τείνω. τὸ ἀποδίδωμι.

Τὸ τὶς. ὅτε μὲν ἐστιν ἐρωτηματικὸν τὸν οἰκεῖον τόνον φυλάττει. ὅτε δὲ ἐστιν ὄνομα. ἀναβιβάζει τὸν τόνον. ὡς τὸ ὄφρα τις.

Τίπτε. τί δήποτε. διὰ τί.

Τί ῥέζεις. τί πράττεις.

Τίσομαι. τιμωρήσομαι. ἀπαιτήσω.

Τλάς. ὑπομείνας. ἐνεγκών.

Τιτρᾶται. τρυπᾶται. διανοίγεται.

Τληπαθεῖν. ταλαιπωρεῖν. ὑπομένειν.

Τλήμων. ἐλεεινός. ἄθλιος. κακοπαθής.

Τό. σημαίνει τοπικὴν σχέσιν.

Τμητῶν. κοπτέων. τορνευτῶν.

Τόγε. ἧκον. τόσον. ἐπ' αὐτὸ ὅσον δύναται τόγε κατ' αὐτόν.

Τὸ δεῖν. τὸ δέον τὸ ὄφειλον.

Τὸ ἠλύσιον. ὁ παράδεισος.

Τὸ ἱερόν. τὸ θεῖον.

Ταῖν χεροῖν. τῶν χειρῶν.

Ταῖν χεροῖν. ταῖς χερσίν.

Τοιᾶσδε. τοιαύτης.

Τοῖσι. ἐν τούτοις. ἢ ἐν αὐτοῖς.

Τοίους. τοιούτους.

Τοῖο. τοῦτο.

Τοιγαροῦν. ὅθεν δή. οἰκοῦν. διὰ τοῦτο. δὴ οὖν.

Τοίνυν. διὰ γὰρ τοῦτο.

Τοι γάρ τοι. τούτου γὰρ ἕνεκεν. ἢ τούτου δὴ χάριν.

Τόδε μοι. τοῦτο δέ μοι.

Τοῖσκεν. οἵτινες ἄν.

Τόμοι. ἄρθρον ἐστιν ὑποτακτικὸν καὶ ἀντὶ τοῦ οὕστινας.

Τοκεῦσι. γονεῦσι.

Τὸ δὴ λεγόμενον. πεφηνώς.
Τὸ φαλκήδιον. τὸ τέταρτον.
Τοιχωρύχος. λῃστὴς τοίχων διορύκτης.
Τοκέων. γονέων. τεκόντων.
Τολμητίας. τολμηρός.
Τό μοι. τοῦτό μοι.
Τολύπωμα. τὸ κατασκευασθὲν καὶ πεφιλοκαλημένον ἔριον.
Τομώτερος. τέμνειν δυνάμενος.
Τομῶς. χαλεπῶς.
Τονθορύζει. ὑποπτέως λαλεῖ. ψιθυρίζει. ἠρέμα γογγύζει.
Τόνδε. ἓν μέρος λόγου ἐστίν. εἰ γράφῃ δύο. ὤφειλε τὸν δέ.
Τοπάζειν. στοχάζεσθαι. ἐνθυμεῖσθαι. ὑπονοεῖν. καὶ ἐτόπαζον ὁμοίως. διὸ καὶ τὸ εἰπεῖν καὶ ὑποτοπεῖν καὶ ὑπονοεῖν λέγεται.
Τὸ παράπαν. παντελῶς.
Τοξότης. ὁ τόξον τείνων. καὶ τοξότης τὸ ἄστρον.
Τορόν. μεγαλόφωνον. ὀξύ.
Τορύνη. τὸ κοχλιάριον. Ἀριστοφάνης δὲ τὸν χυτρόπουν.
Τορῶς. ἰσχυρῶς. τρανῶς. μεγαλοφώνως.
Τορά. τοῦτο δή.
Τορεύει γλύφει.
Τόσον. τοσοῦτον.
Τόσα. μέμηλε. τοσαῦτα ἐν φροντίδι εἰσί.

Τοσαῦτα. ὄνομα πτωτ. αἰτιατικόν. πληθυντικοῦ ἀριθμοῦ. τῶν οὐδετέρων ἡ αὐτὴ ἐστιν ὀρθ. ἡ εὐθ τῶν ἑνικῶν οὐκ ἔχει.

Τὸ σέλας. ἡ ἔκλαμψις.

Τὸ σταῖς. τὸ ἄλευρον.

Τόσῳ μᾶλλον. τόσῳ πλέον.

Τὸ χρῆμα. τὸ πρᾶγμα.

Τοὔνεκα. τούτου ἕνεκα.

Τὸ τηνικαῦτα. τὸ τότε. κατ' ἐκεῖνο καιροῦ.

Τὸ ταῦτα. ἐπίρρημα χρόνου δηλωτικόν. οἷον ἐστι καὶ τὸ τότε πορευθεὶς εἷς τῶν δώδεκα. σημαίνει τὸ μετὰ ταῦτα. καὶ τὸ ἀντί. ἀντὶ τοῦ πάλιν.

Τουτέστι. σύνδεσμος διασαφητικός. ἀντὶ τοῦ ὑπάρχει ὁμοίως καὶ τὸ ἤγουν.

Τοῦρκος. ὁ καὶ Χάζαρος.

Τοὔργον. τὸ ἔργον. κατὰ συναίρεσιν τῶν φωνηέντων.

Τοὐμφανές. τὸ ἐμφανές.

Τοὔνομα. τὸ ὄνομα.

Τοὔμπαλιν. τὸ ἐναντίον. ἀνάπαλιν. ἐκ τοῦ ἐναντίου.

Τοῦ ἄστεως. τῆς πόλεως. τοῦ πολίσματος.

Τουτί. τοῦτο.

Τοῦτο μέν. ποτὲ μέν.

Τοῦτο δὲ. ποτὶ δὲ.

Τοῦ μοῦ. τοῦ ἐμοῦ.

Τοῦ καταλόγου. τοῦ συλλόγου τῆς ἀπογραφῆς.

Τραυλίζειν. ψελλίζειν.

Τόφρα δὲ. τὸ τηνικαῦτα δὲ.

Τοῖς πρακτευταῖς. τοῖς τὰ τοῦ δημοσίου πράγματα διοικοῦσι.

Τριχῆ. εἰς τρία μέρη.

Τρανῶς. φανερῶς.

Τραχημάσας. ἐναντιωθεὶς. ἀπειθήσας. σκληρυνθεὶς.

Τραφερὴ. ἡ γῆ. ἡ πεπηγυῖα ἕως πρὸς τὴν θάλασσαν.

Τράπωμαι. ἀπέλθω. τραπῶ.

Τόπος. σημαίνει δύο. τὸν περιγραφόμενον τόπον. καὶ τὸ ἐπιχείρημα.

Τράπεζα. παρὰ τὸ τέσσαρας πέζας ἔχειν. ἤγουν πόδας.

Τρητῶ. τὸ τρυπῶ. καὶ τρητὸν τὸ τετρυπημένον ἐκ τοῦ τρῶ τρήσω.

Τραπεζίτης. καταλλάκτης.

Τραυματίαι. τετραυματισμένοι. πεπληγότες.

Τραγῳδία. θρηνητικὸν διήγημα συμφορᾶς μετὰ δακρύων.

Τραπωμένου. τραπέντος. ἀπεσφαγμένου.

Τρήρων. περιστερά.

Τήμη. τρῶσις.

Τραγικῆς. τραγῳδῶν εἰδυίας.

Τρισόλβιος. τρισμακάριστος. ὄλβος γὰρ ὁ πλοῦτος καὶ εὐδαιμονία.

Τρίβος. ὁδός.

Τριβή. συνήθεια ἐν διατριβῇ. βραδεῖα.

Τριβωνοφόρος. ὁ φορῶν στολὴν ἔχουσαν σημεῖα ὡς γράμματα.

Τρίχαπτον. κτένιον.

Τρίγχος. τειχίον στεφάνη περίφραγμα.

Τριστάτας. τοὺς παρὰ χεῖρα τοῦ βασιλέως τοὺς ἔχοντας λόγχας ἀνὰ τρεῖς κατὰ χεῖρα.

Τρισαλιτήριος. τρισβδέλυκτος. πάνυ ἁμαρτωλός.

Τριπλοῖ. θεουειδεῖς. τρεῖς θεοειδεῖς.

Τριχαπτόν. βαμβύκινον ἱμάτιον.

Τριήραρχος. ὁ τῶν πολεμίων πλοίων ἄρχων.

Τριοβολιμαῖος. τριῶν ὀβολῶν ἄξιος.

Τροχηλατεῖ. ἐλαύνει.

Τροχίας. τρίβους.

Τρίβακος. ἡ τριβή.

Τριτογένεια. φοβερὰ καταπληκτικώτατα.

Τρισευδαίμων. μακάριστος.

Τριήρης. πολεμικὴ ναῦς.

Τριχῶς. τρισσῶς.

Τλητικῶς καὶ τλήμων. ὁ ὑπομονητικός.
Τρισμός. γογγυσμός.
Τρίποδα. λέβητα ἐν δελφοῖς ἐπὶ τρίποδα κείμενον μαντικὸν τοῦ ἀπόλλωνος.
Τριπλῆ. ἐπίρρημα ἀριθμοῦ δηλωτικόν.
Τριβώνιον. παλλίον. ἱμάτιον.
Τρικυμία. ἡ σφοδροτάτη καὶ δεινοτάτη τῆς θαλάσσης. ταραχή.
Τροπολόγιον. διὰ τὸ τρέπειν τοὺς λόγους. οἷον ὁ τοῦ φωτὸς χορηγός. ἥρμοζε γὰρ τὸ χορηγὸς τοῦ φωτός.
Τρόπος. ἦθος γένος. ὑπόθεσις. πρόφασις λόγος. ἔργον καὶ ὁμοίωσις. ἐκ τοῦ τρέπω τρέπος καὶ τρόπος.
Τρόπος. σημαίνει τὰ ἀνώτερα γεγραμμένα. καὶ τὴν νίκην. ἐξ οὗ καὶ τρόπαιον καὶ τρόπαια πληθυντικῶς. νικητήρια. σύμβολα νίκης. εἰκόνες. στῆλαι. ἀνδριάντες. καὶ τὰ μικρὰ βουνία καὶ ἐν πεδίῳ χώρῳ.
Τροπός. ὁ τροπωτήρ. τῆς κώπης. παρὰ τὸ τρέπειν ὅπου δεῖ τὴν κώπην.
Τροπικώτερον. κατὰ τροπὴν ἐκ τοῦ ἰδικοῦ γράμματος ἐπὶ θεωρίαν πνευματικὴν μεταγόμενον.
Τρόπαιον. ἡ νίκη.

Τροχόωσαι. τρέχουσαι.

Τροπῆς ἀποσκίασμα. ἀλλοιώσεως ἴχνος. καὶ φαντασίας ὁμοίωμα.

Τροπικῶς. μεταφορικῶς. καθ᾽ ὑπόθεσιν. οὐκ ἀληθῶς καὶ κυρίως ὀνομαζόμενον ἀλλ᾽ ἐπιπροσώπως δηλούμενον.

Τρόμος. εὐλάβεια. φόβος.

Τροπώσομαι. νικήσω. ὑποτάξω.

Τρώγλη. τρύπη.

Τρώξιμον. εἶδος λαχάνου ποταμοῦ.

Τρύζει. γογγύζει τοῖς νεοττοῖς.

Τρυβλίον. τὴν μὲν πλάσιν ἐστὶν ὀξυβάφιον. ἤτουν παροψίς. χωρεῖ δὲ ξέστου τὸ ἥμισυ.

Τρύχεται. καταπονεῖται. βλάπτεται.

Τρύξ. τρυγία.

Τρυγὴν. ὑποστάθμην πυθμένα.

Τρυτάνη. ζυγός. καὶ ἀτρυτώνη ἡ ἄζευκτος.

Τυγχάνω. τὸ ἐπιτυγχάνω.

Τυγχάνω. τὸ εἰμί. ὑπάρχω καὶ συνδιάγω.

Τύλος. ἡ νενεκρωμένη σάρξ.

Τύθω. σφάζω.

Τυτθὸς. ὁ βραχύς.

Τυτθὸν. κυρίως τὸ ἐπὶ τίτθιον βρέφος παρὰ τὸν τυτθὸν τὸν μαζόν.

Τυτθὸν. ὀλίγον. μικρόν.
Τύπος. παρὰ τὸ τύπτω γίνεται τύπος. ὥσπερ εἰς τὸ βουλλωτήριον τυπτόμενος ὁ μόλιβδος εἰκόνα ἀποτελεῖ. οὕτω καὶ ὁ τύπος εἰκόνισμα ἀποτελεῖ καὶ χαρακτῆρα.
Τύμβος. μνῆμα. τάφος.
Τυμπανίζεται. ξύλῳ τήρεται. ἀναιρεῖται. ἐκδέρεται.
Τρωθεὶς. πληγεὶς.
Τύμπανον. ἐκ δερμάτων ὑπάρχη ὃ κατεῖχον κρούουσαι αἱ μαινάδες.
Τυντλάζει. αὐτὸ καὶ αὐτὸ λέγει.
Τύρβην. θόρυβον. ταραχήν.
Τύρσος. τὸ ἐν ὕψει οἰκοδομημμένον.
Τυρεύων. συγκινῶν. συνταράσσων.
Τύραννος. βασιλεὺς παράνομος καὶ ἀντάρτης νεωτεροποιός.
Τυφωθεὶς. ἐπαρθεὶς.
Τῦφος. ἀλαζονία. ὑπερηφανία. κενοδοξία.
Τυφῶνος. πυρώδους δαίμονος.
Τυχὸν. πολλάκις ἐστιν ὅτε.
Τυχὼν. ἐπιτυχών.
Τύχην. τὸ χρέον εἰρῆσθαι. τὸ ἐπιβάλλον καὶ καθῆκον κατὰ τὴν εἱμαρμένην. σημαίνει δὲ καὶ τιμήν. ἐστιν

ούν ἡ τύχη τῶν μέσων ὀνομάτων. μέσα δέ ἐστιν ὅσα ἐπὶ καλοῦ καὶ κακοῦ. τύχη δέ εἰς τάξεις διήρηται τρεῖς. ἐλευθέρων. ἀπελευθέρων καὶ δούλων. καὶ εἰς ἀξιωμάτων τρεῖς. βασιλέων. ἀρχόντων καὶ στρατιωτῶν.

Τύψον. πῖσον. δάμασον.

Τωθασμὸς. κολακία.

Τωθάσειν. σκώπτειν. χλευάζειν. ἐμπαίζειν. ἀπατᾶν.

Τωθαζόμενος. χλευαζόμενος.

Τυφλὸς. πηρὸς. ἀνάπηρος. διαφέρουσι. τύφλος μὲν γάρ λέγεται ὁ ἐκ γενετῆς. πηρὸς δὲ ὁ μετὰ τὸ γεννηθῆναι αὐτὸν τυφλωθεὶς. ἀνάπηρος ὁ ἐκ νοσήματος τινὸς τυφλωθεὶς.

Τῶν ἐπὶ σκηνῆς. τῶν θεατρικῶν.

Τῶν πλωτήρων. τῶν πλεόντων αὐτῶν.

Τῶν ἐν ἕξει. τῶν τελειοτέρων.

Τῶν παρεκτὸς. τῶν ἔξωθεν.

Τῶν ἀνέκαθεν. τῶν ἐξαρχέων.

Τῶν μοι. ἐκ τούτων μοι.

Τῶν γάρ. ἐκ τούτων γάρ.

Τῶν σφῶν. ἐκ τῶν ἑαυτῶν.

Τῶν ὄντι. τῶν τῇ ἀληθείᾳ.

Τῶν πέλας. τῶν πλησίων.

Τῶν ἀκαιρέων. τῶν ἡσυχίων.

Τῶν ἐν τέλει. τῶν ἀρχόντων.

Τῷ φύσαντι. τῷ γεννήσαντι.
Τῷ χεῖρε. τὰς χεῖρας ἐνικῶς.
Τῷ. ὥτινι.

## Ἀρχὴ τοῦ Υ.

Υάδες. οἱ ἐπὶ τῶν κεράτων τοῦ ταύρου ἀστέρες.
Υάλη. ὕαλος.
Υάσιν. υἱοῖς.
Υακίνθινον. μελάνιζον. ὑποπορφυρίζον.
Υβλας. ἰορδάνης.
Υβος. κύφον. κυρτὸς.
Υγιὴς. ὁλόκληρος. σῶος.
Υγιῶς. σώως. ὁλοκλήρως.
Υγρὰν. κέλευθον τὴν διὰ θαλάσσης ὁδόν.
Υγρὸς. ὁ εὐκαταφόρος. εἰς τὰς ἡδονὰς καὶ ῥευματιζό-
μενος.
Υγιεία. ἡ εὐεξία τετρασυλλὰ.
Υδεῖν. ὑμνεῖν.
Υβρις. ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρίας αἰκία.
Υδρεία. μετὰ διφθόγγου. ἡ ὕδρευσις.
Υδρία. κυρίως τὸ εἰς ὕδωρ ἐπιτήδειον ἀγγεῖον.
Υδρα. θηρίον πολλὰς κεφαλὰς ἔχον.
Υδατίδες. σταγόνες.

Ὑδερος. ὑδροπιάσας.
Ὑδωρ. καὶ γέα γένοιαθαι. διαλυθήσεσθαι εἰς τὰ ἐξ ὧν συνετέθητε στοιχεῖα.
Ὑος. χοῖρος.
Ὑες. χοῖροι.
Ὑετος. ὄμβρος.
Ὑεσιν. υἱοῖς.
Ὑθλους. λήρους. μωρούς.
Ὑθλῶ. φλυαρῶ.
Ὑθλος. φλυαρία. μωρολογία. ἀκαιρολογία.
Υἱους. τοὺς υἱούς. τὰ τέκνα.
Υἱεῖς. υἱούς.
Υἱδους. τοῦ υἱοῦ υἱός.
Ὑος. ὕμνος.
Ὑοθετεῖ. υἱοποιεῖ. τεκνογονεῖται.
Ὑλικῶν. ὑλώδη φθαρτῶν.
Ὑγρας τὰς ὁρμὰς τῶν βελῶν.
Ὑλη. ὁ δρυμώδης καὶ σύνδενδρος τόπος ἡ δι' ὑγρὰς αὐξανομένη. ἡ ἐπισώρευσις τῶν ξύλων. ἡ βόρβορος. ἡ βάθος. λέγεται δὲ ὕλη κυρίως ἡ κρᾶσις τῶν δ στοιχείων ἤγουν γῆ. ὕδωρ. ἀήρ. πῦρ. ὑλικὰ δὲ τὰ ἐκ τούτων συνθ. λίθος. φυτὰ. ἔμψυχον σῶμα. ὕλη δὲ προσαγορεύεται. διὰ τὸ ὑποκεῖσθαι εἰς γένεσιν τῶν ἐξ αὐτῆς.

Υλομανούντων. μεμηνότων περὶ τὴν ὕλην. ἢ τῇ ὕλῃ
χαιρόντων.
Υλακή. κυρίως ἡ φωνὴ τῶν κυνῶν.
Υλομανής. ὁ τῇ ὕλῃ χαίρων.
Υλακομόροι. ὑλακτικοί.
Υ. ὅτι αἱ ὑάδες τὸν πρόσωπον τοῦ ταύρου ἔχουσιν. ὡς
ἐπιπλατυνόμενον ἀπὸ τοῦ μετώπου. λεπτυνόμενον
δὲ ἐξ ἀμφοτέρων ἐπὶ τὰ κάτω. ὥσπερ καὶ τὸ γράμμα
ἐστιν.
Υμενῶδες. λεπτὸν ἀερῶδες.
Υμεδαπῶν. τῶν ἐκ τοῦ αὐτοῦ ἐδάφους συγγενῶν. ἢ τῆς αὐ-
τῆς χώρας.
Υμέναιον. ᾠδὴν ἐπιγάμιον. ἢ ᾆσμα γαμικώτατον.
Υμεῖς. ὀρθ. ἀντωνυμία β. προσώπου. ὑμῶν γενικῷ.
ὑμῖν δοτικῷ αἰτιατικῷ. ἀσύναρθ. ἀν. νυ αὐτῷ.
Υμνος ἐστιν. ὁ μετὰ προσκυνήσεως καὶ εὐχῆς κεκραμ-
μένῳ ἐπαίνῳ λόγος εἰς θεόν. σημαίνει καὶ ἐπι-
θαλάμιον ᾆσμα.
Υμμες. ὑμεῖς.
Υνις. ὁ σίδηρος τοῦ ἀρότρου.
Υπαΐξας. ἐφορμήσας.
Υπασπιστής. δορύφορος. ἀσπίδα φέρων. βοηθός. ὑπέρ-
μαχος.
Υπαγορεύει. λαλεῖ.

Ὑπαγωγαί. ἀναχωρήσεις. ἀπάται. διώξεις.

Ὑπαντιάζει. ἀπαντᾷ. ἀντιπαρατάσσεται.

Ὑπαθλοθέτῃ. ἀγωνοθέτῃ. κριτῇ.

Ὑπαχθέντες. ὑποβληθέντες. ὑποσυρέντες. ἀπατηθεῖς.

Ὕπατε κρειόντων. βασιλεῦ βασιλευόντων.

Ὕπαρ. ἐγρηγορότος. ἀληθὴς ὀπτασία οὐ κενονείρων.

Ὕπαντρα. ὑπὸ τὰ σπήλεα.

Ὑπαλύξας. ἐκκλίνας.

Ὕπατον. ἐξοχώτατον. ὑπερέχον.

Ὕπαιθρος. ὁ ἀπόσκεπτος οἶκος.

Ὑπαινίττεται. αἰνιγματωδῶς ἐμφαίνει ὑποδηλοῖ.

Ὑπενόσησαν. ὑπεχάλασαν.

Ὑπεράγονται. ὑπερθαυμάζουσι ἢ φθονοῦσι. τὸ γὰρ ἄγω οὐ μόνον τὸ θαυμάζειν δηλοῖ. ἀλλὰ καὶ τὸ φθονεῖν.

Ὑπερασπιστής. ὑπέρμαχος. βοηθός.

Ὑπεροψία. ὑπερηφανία.

Ὑπερβασία. ἡ παράβασις καὶ ἡ ἀδικία.

Ὑπερῷα. καὶ ὑπερῷον διαφέρει. ὑπερῷα μὲν ἐστιν ὁ οὐρανίσκος θηλυκῶς. ὑπερῷον δὲ οὐδετέρως σημαίνει τὸ ἀνώγαιον παρὰ τὸ ἄνω ὁρᾶσθαι.

Ὑπεστόρηται. ὑπέστρωται. ἥπλωται.

Ὑπερανεστηκώς. ὑπερβεβηκώς. ὑπερυψωθείς.

Ὑπεραλεῖται. ὑπερπηδήσει.

Ὑπελείφθη. ὑστερήθη.

Ὑπερκόσμια. τὰ ὑπὲρ τὸν κόσμον ὄντα. ὡς ἄγγελοι καὶ τὰ ὅμοια.

Ὑπέφηνεν. ὑπέδειξε. προεδήλωσεν. ἐφανέρωσεν.

Ὑπερήσει. στηρίξει. Ὑπερπρὲς. ὑψηλὸν. ὑπέρεχον.

Ὑπερκεῖσαι. ὑπερβάλλεις.

Ὑπέρακμος. ὑπεράκμασας. ὑπεκδραμών.

Ὑπέδυ. ὑπεισῆλθεν.

Ὑπερφυής. ἔνδοξος. ἔντιμος. μέγας. καὶ ὑπερφυῶς τὸ ἐπίρρημα.

Ὑπέρροον. τὸ ἀπὸ τοῦ ὑψηλοῦ ῥέον. καὶ ὑπερόπτης. παρὰ τὸ τὰ ὑπὲρ αὐτὸν θεωρεῖν. ἢ διὰ τὸ ὑπερορᾶν πάντων.

Ὑπερόριος. ἐκτὸς τῶν ὁρίων. ἐξόριστος.

Ὑπερορία. ἐξορία.

Ὑπερτάτας. μείζονας.

Ὑπερθεν. ἄνωθεν.

Ὑπέρτατος. ὑπερέχων. ἀνώτατος.

Ὑπερφίαλος. μέγας ὑπερήφανος.

Ὑποδειμονος. ὑφορώμενος.

Ὑπερφερὲς. μέγας.

Ὑπερηγάσθη. ὑπερεθαυμάσθη. ὑπερεθαύμασεν.

Ὑπέσχες. ἔδωκας.

Ὑπεροπλία. ὑπερηφανία.

Υπέροφρυς. ὑπέρογκος. ὑπηρμένος.
Υπέρτερον. ἀνώτερον. ἢ δεσπόζον.
Υπερτάτη. ὑπερβαίνουσα.
Υπεροχὴν. ἐξοχήν. μεγαλειότητα.
Υπειλημμένον. ὑπονενοημένον. νενομισμένον.
Υπεῖκον. ὑπεκλίνοντο.
Υπερτέλλοντα. ὑπερανατέλλοντα.
Υπερνήνεκται. ὑπηκολούθησεν. ὑπεσύρει.
Υπέρθεσις. ἀναβολή.
Υπερήμερος. ἐκπρόθεσμος.
Υπερφυᾶ. ἐνδεᾶ καὶ ὑγιῆ.
Υπήχθην. ὑπήρθην.
Υποθέσθαι. διατυπώσασθαι.
Υπέραι. αἱ ἐξηρτημέναι τοῦ κέρατος τῶν πλοίων σχοῖναι
Υπεροπᾶ. παραβλέπει.
Υπέραρον. ὑπεραῖρον. διαφέρον.
Υπερινὸν. τὸ σφόδρα λεπτόν.
Υπερέχοντι. ἐξουσιάζοντι.
Υπέρογκον. μέγα. ὑψηλόν. ὑπέρμετρον.
Υπερείδουσαν. ὑποστηρίζουσαν.
Υπέχει. ὑποφύλη.
Υπεύθυνος. ἔναχος.
Υπέχετο. ἐπηγγείλατο.
Υπενόθευσαν. ἠλλοτρίωσε.
Υπέθεντο. συνεβούλευσαν. ὑπέβαλον.

Ὑπείκετε. ὑποτάσσεσθε.

Ὑπεζωσμένος. περιβεβλημμένος.

Ὑπ' ἠῶ. ὑπὸ τὸν ὄρθρον.

Ὑπήνη. γένειον. πώγων. ἢ αἱ τρίχες τοῦ ἄνω χείλους.

Ὑπῆν. ὑπῆρχε. προσῆκεν.

Ὑπήλυθεν. ὑπεισῆλθεν.

Ὑπηρεσία. ἡ δουλεία. ὑπειρεσία δὲ ἡ κωπηλασία.

Ὑπισχνεῖται. ἐπαγγέλλεται.

Ὕπνος. θανάτου σκιά.

Ὕπνος ἐστιν. ἀτονία τοῦ αἰσθητικοῦ πνεύματος.

Ὑπογραφή. ὡς ὑπὸ τὴν γραφὴν τελοῦσα.

Ὑποστάθμη. ἡ τρὺξ καὶ πᾶν τὸ ὑφιζάνον. ὡς παχυμερέστερον.

Ὑποδεὴς. ὑπόφοβος.

Ὑποσμύχει. ὑποκαίει. θλίβει. ἀνιᾷ. καταπονεῖ.

Ὑποπιεσμὸς. ἐνταῦθα διὰ τοῦ ο γραπτέον τὸ πο. ἀπὸ γὰρ τοῦ ὑποπιέζειν τινὰ ἑαυτὸν καὶ ταπεινοῦν καὶ ἐκθλίβειν εἴρηται ὑποπιεσμὸς. ἑτέρωθεν δὲ καὶ διὰ τοῦ ω γραπτέον καὶ διὰ τοῦ α. ὑπωπιάζειν γάρ ἐστι τὸ αἰσχύνειν καὶ ἐλέγχειν τινὰ ἑαυτὸν διὰ τῶν ἐν τῷ στόματι αὐτοῦ ὑπωπίων ἤτοι μαλλώπων ὑπωπιάζει τυχὸν αἰκισθεὶς.

Ὑποβολιμαῖοι. οἱ ὑποβαλλόμενοι καὶ εἰσποιητοὶ ὡς ἐπὶ τῶν χαμοῤῥίφων παιδίων. ἃ παρ' ἑαυτοῖς ὑποβάλλουσιν αἱ γυναῖκες.

Ὑποτοπήσας. ὑπονοήσας. ὑποπτεύσας.
Ὑποστέλλεσθαι. φοβηθῆναι.
Ὑποίσει. ὑφέξει. ὑπομένει. βαστάσει.
Ὑποστέλλεται. ἀναδύεται. ὑποκρίνεται. δαλιεύεται.
Ὑποζύγια. ὄνοι.
Ὑποδύντας. ὑπεισελθόντας.
Ὑποδείσαντες. φοβηθέντες.
Ὑποσελῦται. ὑποσυρίζει.
Ὕπουλος. ἄνθρωπος δόλιος. φαινόμενος ἔξωθεν εἰρηνικός. ὡς ἐπὶ τῶν ἑλκῶν τῶν ἐχόντων ἐπιφανῶς ὑγιὲς ἐπάνω. ἔνδοθεν καὶ σηπεδόνας. ὅθεν καὶ καλοῦνται ὑπὸ οὐλήν. ὑπόδολον.
Ὑποτύπωσις. ὑπογραμμός
Ὑπουργεῖ. ὑπηρετεῖ.
Ὑποβρύχιον. ὑπὸ τὸ ὕδωρ βυθισθέν.
Ὑπουρί. ὑπὸ τῷ ὄρει.
Ὑπορεινόν. ὑπὸ τοῦ ὄρους.
Ὑπόσπονδος. ὑπὸ φιλίαν. ὑποτεταγμένος.
Ὑπορόφιν. ὑποστέγην.
Ὑπόγειον. ὑπὸ τὴν γῆν.
Ὑπόγυον. νεωστὶ γενόμενον καὶ πρόσφατον.
Ὑποκρίνεται. κολακεύει.
Ὑποκορίζεται. κολακεύει.
Ὑποκύσεται. ὑποβληθήσεται.
Ὑπομάζιον. θηλάζον. ὅτι ὑπὸ τὸν μαζόν.

Ὑποβήσεται. ὑποβληθήσεται.

Ὑποθήκας. παραινέσεις.

Ὑποφῆται. ἱερεῖς. ἢ προφῆται.

Ὑποβιβάσαι. καταβιβάσαι. ὑπὸ κάτω ποιῆσαι.

Ὑπόβαθρον. ὑπόβασιν θεμέλιον.

Ὑποχόνδρια. τὰ ἀκροπάθια τὰ ὑπὸ τὸν λαγόνα.

Ὑποδμῶς. δοῦλος.

Ὑπότριμμα. ἔκ τε φοινίκων καὶ μέλιτος καὶ κυμίνου καὶ ἄλλων τινῶν ἀρτυμάτων.

Ὑπόκρισις. πικρία λανθάνουσα.

Ὑπόφορος. ὑποτελής.

Ὑπογραμμόν. τύπον. ἢ μίμημα.

Ὑπόνομος. ὀχετός. διόρυξ.

Ὑπήνη. αἱ ὑποκάτω τοῦ γενείου τρίχες.

Ὑποψία. ὑφόρασις. δόξα ἐπὶ τὸ χεῖρον. κακοῦ ἐπίνοια.

Ὑπόπλεος. μεστός.

Ὑποτονθορύζει. ὑπογογγύζει.

Ὑποστολῆς. φυγῆς.

Ὑπόπτερον. ταχὺ ὡς δι' ἀέρος.

Ὑπομέμυκεν. ὑπεσυρνίακεν. ἐν ὑπομνήσει ὑπάρχει.

Ὑποδραμών. ὑπελθών.

Ὑπόθεσις. περιοχή. αἰτία.

Ὑποθήσομαι. διδάξω.

Ὑποδύτην. τὸ ἐσώτερον ἱμάτιον.

Υπηγμένα. παραδεδομένα. προελθόντα.
Υποβλεπόμενος. ὑπονοῶν ἐχθραίνων.
Υπόστημα. πλῆθος.
Υπόστασις. κατὰ τὴν ἐκκλησιαστικὴν καὶ ἀποστολικὴν παράδοσιν τὸ πρόσωπον ἤγουν τὸ χαρακτήρ. καθὼς φησι ἀπόστολος. ὃς ὢν ἀπαύγασμα τῆς δόξης. καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τουτέστιν πρόσωπον ὁμόστοιχον τοῦ χαρακτῆρος καὶ τῆς ὑποστάσεως τοῦ πατρός. πρόσωπον δὲ καὶ χαρακτῆρας λέγομεν ἐπὶ θεοῦ ἀσώματα καὶ ἀπερίγραπτα καὶ ἀσχημάτιστα.
Υπόστασις. ἤγουν πρόσωπόν ἐστι κατὰ τοὺς ἁγίους πατέρας τὸ ἰδικὸν παρὰ τὸ κοινόν. κοινότης γάρ ἐστιν ἡ φύσις ἑκάστου πράγματος. ἰδία δὲ εἰσιν αἱ ὑποστάσεις.
Υπόστασις. λέγομεν τὸ καθ᾽ ἑαυτὸν ὑφεστὸς καὶ οὐδενὶ ἑτέρῳ συνθεωρούμενον. ὅπερ καὶ ἄτομον καλοῦσί τινες.
Υπόστασίς ἐστι, κατὰ μὲν φιλοσόφους ἰδιωμάτων συνδρομή. κατὰ δὲ τοὺς πατέρας. καθ᾽ ἕκαστον ἄνθρωπον ἀφοριζόμενα.
Υπόστασις. ἔστι ποτὲ μὲν πᾶσα τοῦ τυχόντος ὕπαρξις ποτὲ δὲ τὸ ἰδικὸν παρὰ τὸ κοινόν. ὡς πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα.
Υποστέλλεται. ἀναδύεται. ὑποκρύπτεται.
Υπόκρισις. ἐστι πικρία λανθάνουσα.
Υποκριτά. δολιότατα.

Ὑπολαβών. ὑπονοήσας ἢ ἀποκριθεὶς. ἐνθυμηθείς.
Ὑποσκελίσει. χλευάσει.
Ὑποτίτθια. θηλάζοντα. γαλακτοτροφούμενα.
Ὑπονύσσεται. καταπονεῖται. ἐξαγριοῦται.
Ὑπόδειγμα. σημεῖον.
Ὑπόληψις. ὑπόνοια φήμη.
Ὑπόληψις. ἐστιν ἡ παχυμερὴς γνῶσις καὶ εἰκασία καὶ ἡ δόξα.
Ὑπτιος. ἐχθρὸς ἐν ἀπονοίᾳ.
Ὑπόδικος. ὑπεύθυνος.
Ὑποστᾶ. ὑπομένει.
Ὑποστέλλεται. ὑποπτύσσει. ἀποσιωπᾷ.
Ὑποδρόμους. στομία.
Ὑπτία. ὑψηλά.
Ὑπτιος. ἐπὶ νῶτον κείμενος.
Ὑπτιον. τὸν ἀνώσκελα πεσόντα. καὶ ὕπτιος ὁ ὑψηλός.
Ὑπορείας. τὰς τοῦ ὄρους πλαγίως σκοπιάς.
Ὑπωπι. τὰς ὑπὸ τοὺς ὀφθαλμοὺς πελιώματα ἢ τὰ ἐξ ὀφθαλμῶν ἐξιόντα πύα. ὦπες γὰρ οἱ ὀφθαλμοί.
Υἱός. δισυλλάβως. δίφθογγος γὰρ ἡ υι. ἐστι δὲ ὄνομα ἁπλοῦν προσηγορικὸν εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι πρός τι. ἔχει γὰρ πρὸς τὸν πατέρα ὁ υἱός. γίνεται δὲ παρὰ τὸ ὕω τὸ βρέχω. ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς εὐφρασία ὤν.
Υἱός. διὰ τὸ εἶναι ὁμοίως τῷ πατρί.

Υσμίνη. μάχη.
Υΐειον. καὶ ὕειον καὶ ὑϊκόν. τὸ χοίρεον.
Ὕσσωπον. σημαίνει. τὴν βοτάνην καὶ τὸν σπόγγον. ἔστι
δὲ βοτάνη καθαρτικὴ ῥύπου παρομοία σαμψύχῳ.
καὶ ὕσπη ὁ ῥύπος τοῦ ἐρίου τῶν προβάτων.
Ὑστέρα. ἐπὶ τῆς μήτρας. ἤτοι ἀπὸ τῆς θέσεως. ἢ ἀπὸ
τοῦ μὴ εὐθὺς ἀλλ᾽ ὕστερον ἀποδιδόναι τὰς ἰδίας φορὰς.
Ὕστριξ. ὁ μονοιός. ἤτοι ὁ λεγόμενος ἀκανθόχοιρος.
Ὗς. σῦς. χοῖρος.
Ὑσπληξ. βούκεντρον.
Ὕστατος. ἔσχατος. τελευταῖος.
Ὑστεροβουλίαν. μεταμέλειαν. μετάνοιαν.
Ὑφα. τὸ ὕφασμα.
Ὑφημέναις. ὑποβεβηκυίας.
Ὑφάντης. παροξυνόνως.
Ὑφεξαίρειν. ὑφαιρεῖν.
Ὑφάλοις. τοῖς ὑποκάτω τῆς θαλάσσης βράχεσι.
Ὑφέσεως. ταπεινώσεως. καταβάσεως.
Ὑφέξαλε. ἔπαρον.
Ὑφεστάναι. εἶναι. ὑπάρχειν.
Ὑφεστὼς. ἐνυπόστατον. ὑπομένον.
Ὑφέντες. ἐνδόντες. χαλάσαντες. ἐλαττώσαντες.
Ὕφεσις. ἔνδοσις. ὑποκατάβασις.
Ὑφέσει. ὑποκαταβάσει. ἐλαττώσει.
Ὑφαίνειν. κατασκευάζειν. ποιεῖν.

Υφειμένον. ταπεινόν. ὑποχείριον.
Υφίςατο. ὑπόμενε.
Υφείλατο. ἐπῆρεν. ἐκούφισε.
Υφηγοῦμαι. διηγοῦμαι. ἐξηγοῦμαι.
Υφιζάνειν. ὑποκάθεσθαι.
Υφιεῖς. ὑπενδούς.
Υφειμένως. ἐνδεδομένως. μικροτέρως.
Υφελεῖν. εἰ μὲν σημαίνει τὸ ὀλίγον τι ἀποβαλεῖν τῆς ὀργῆς. σὺν μετὰ γῆ. εἰ δὲ σημαίνει τὸ κρατῆσαι μετ᾽ αἰτιατικοῦ.
Υφειμένως. ταπεινῶς.
Υφιςάς. ὑποτιθείς.
Υφίησιν. ὑπὸ χαλᾷ. ἐλαττοῖ. μειοῖ. ὑποχωρεῖ.
Υφίεμεν. ἐνδιδῶμεν.
Υφιζάνοντι. ὑποκαθημένῳ.
Υφορβός. συφορβός. χοιροβοσκός.
Υφώμενος. ὑποβλεπόμενος. ἐλαβούμενος. ὑπονοῶν. φοβούμενος.
Υφ᾽ ὧν. ὑπὸ τῶν.
Υφομαδόν. ὁμοθυμαδόν.
Υιωνός. ὁ τοῦ υἱοῦ υἱός. ὥσπερ καὶ δεσπόσυνος ὁ τοῦ δεσπότου υἱός.
Υψαύχην. ὑψηλόφρων. μεγαλαύχων.
Υψιπέτης. ὁ ἐν ὕψει πετόμενος. ὑψιπετὴς δὲ ὁ ἀπὸ ὕψους πεπτωκώς.

Ὑψισταύριος. αἵρεσις αὕτη. ἄνθρωποι γὰρ τινὲς αἱρετικοὶ οὔτε πατέρα οὔτε υἱὸν ὁμολογοῦντες. εἰ μὴ μόνον ὕψιστον.

Ὕψι. τὸ ἐφ' ὕψους.

Ὑψηλόν. διάφορα σημαίνει. τὸ μέγα καὶ ὑπερέχον. ὑψηλὸν τὸ λεπτόν. τὸ αὐτὸ καὶ ἐπὶ ἱματίου. ὑψηλόν. παρὰ τὸ εἶναι ἀόρατον. ἐὰν μὴ ἔχῃ αὐτὸ τὸ σημαινόμενον σῶμα. ὡς τὸν οὐρανόν. ὁ ἥλιος τῇ ἡμέρᾳ. καὶ οἱ ἀστέρες τῇ νυκτί. τὸ γὰρ ὕψη σημαίνει τὸ ἄπειρον. τὸ δὲ λὸν λίαν δ' ἐστὶ πολύ.

Ὑψηγόρε. μεγαληγόρε.

Ὑψίροφον. ὑψηλότερον.

Ὑψηρεφές. ὑψηλόσκιον. μετέωρον κατὰ τὸ ὄροφον.

Ὑψιμέδοντα. τὸν ἐν ὕψει βασιλεύοντα.

Ὑψιφοῖτα. ὑψιπόρε.

Ὑψιχέες. ἵπποι. ὑψηλοτράχηλοι.

Ὑψιβρεβέτης. ὁ ἐν ὕψει βροντῶν.

Ὑψίζορος. ὑψηλὴν καθέδραν ἔχων.

Ὑψίκομοι. οἱ ἐν ὕψει τὴν κόμην ἔχοντες. οἱ κυπάρισσοι καὶ φοίνικες.

Ὑψοῦ. ἄνω. ἐν ὕψει.

Ὑψοῦ δειτιθεῖ. ἐν ὕψει τρέχει. εἰς ὕψος ὁρμᾷ.

Ὕω. βρέχω. ὑετίζω ἐν ὄμβρῳ. τὸ γὰρ ἀνομβρῶ κάτωθεν σημαίνει ἔκβλυσιν.

# Αρχὴ τοῦ Φ.

Φάους. φωτὸς.
Φαάνθη. ἐφάνη.
Φά. εἰπὲ.
Φάη. τοὺς ὀφθαλμοὺς.
Φαγέδαινα. νόσος λοιμικὴ.
Φάειν. λέγειν.
Φαγύλιον. μαρσίππιον.
Φαέθων. ἥλιος.
Φαεσίμβροτος. φθείρουσα τοὺς ἀνθρώπους.
Φαεινὴ. λαμπρὰ.
Φαεινὸν. λαμπρὸν. ὡραῖον.
Φάεα. φάη. οἱ ὀφθαλμοί.
Φακιόλιον. σημικίνθιον.
Φαεσφόρους. φωτοφόρους. φωτὸς παρεκτικὰς γνώσει φωτιζούσας.
Φαιὸν. μελανόλευκον. τὸ μέσον τοῦ λευκοῦ καὶ μέλανος.
Φαῖον. χρῶμα σύνθετον ἐκ μέλανος καὶ λευκοῦ. οἱ δὲ μύϊνον.
Φαῖεν. ἄν. εἴποιεν ἄν.
Φαίδιμος. λαμπρὸς.
Φαιδρωπὸν. τὸ τερπνόν. φαιδρόν τε καὶ χαρίεν πρόσωπον.
Φαίνακες. ἀπατεῶνες.
Φαιλόνες. εἰλητὸν τομαρίον. μεμβράϊνον. καὶ γλωσσόκομον.

Φαινόλην. ἀπὸ τοῦ φαίνω ῥήματος. ἢ παρὰ τὸ φαίνεσθαι ὅλον.

Φαινόλης. ὁ ἄραν ἀπαστηλός.

Φακλοὺς. φορτία.

Φάλαγξ. τάξις συνεστηκυῖα ἐξ ἑκατὸν εἴκοσι ἀνδρῶν. ἄλλοι δὲ ἐξ ἀνδρῶν τετρακισχιλίων τς.

Φαλακρός. ὁ τὸ ἄκρον ἔχων φαλόν. ὅ ἐστι λαμπρὸν παρὰ τὸ φῶς.

Φακός. ὁ ὦμος. φακὴ ἡ ἑψηθεῖσα.

Φαλκίδιον. τὸ τέταρτον.

Φαλκίδιος. ὁ κάπιων.

Φαλαρά. τὰ προμετώπια τῆς περικεφαλαίας.

Φαλος. ἀσπιδίσκιόν τι λαμπρόν.

Φάλαγγες. αἱ τάξεις τῶν πολεμιστῶν. ἀριθμοί. ἡ νόμεροι. ἡ ἑκατονταρχίαι.

Φαλαγγηδόν. κατὰ τάξεις.

Φαλαρα. τὰς προμετωπίδας τοὺς ἀσπιδίσκους. τὴν κόσμησιν τὴν κατὰ τῶν μετώπων τῶν ἵππων.

Φαλλόν. αἰδοῖον ἀνδρικὸν ἐκ ξύλου. ὅπερ ἐν τῇ τοῦ διονύσου ἑορτῇ φορούντων ἐχόρευεν.

Φάμενος. εἰπών.

Φάμεν. λέγομεν.

Φασί. λέγουσι.

Φαμαν. φήμην.

Φάναι. εἰπεῖν.

Φανότατος. λαμπρότατος.

Φαντασία. τῶν ἀφανῶν στάσις.

Φάραγξ. λέγεται τὸ ἀπόσποσμα τῆς γῆς. εἴρηται δὲ ἀπὸ τοῦ σπαράσσω σπάρασθαι καὶ προ φάραγξ.

Φάος. φῶς. ἀυγὴ ὑπὸ τὸν ὄρθρον.

Φάραγξι. κοιλάσι. μετάξυ ὀρέων Χάσμασι.

Φάρυγξ. παρὰ τὸ φέρω. δι' ἧς φέρεται τὸ πνεῦμα καὶ ἔστι παρώνυμον.

Φάρυγξ. θηλυκῶς. ἡ φάρυγξ. ὁ βρόυχος. ὁ λάρυγξ. ὁ λαιμὼν.

Φάρετρα. βελοθήκη.

Φάρμακα. ἰάματα. φάρμακα κυρίως ἐκεῖναι λέγονται τὰ ἰονεὶ ἐπιφέροντα τὸ ἄκος ἤγουν τὴν ἴασιν. ἢ τὰ φέροντα ἄκεσι.

Φαρῶ. ἀροτριῶ.

Φάρος. ἄρμενον ἱμάτιον. περιβόλαιον.

Φαρμάξας. ἀπατήσας. γοητεύσας. ἰατρεύσας.

Φάσμα. φάντασμα. σκιά. εἴδωλον.

Φάσγανον. ξίφος.

Φάσθαι. λέγειν.

Φάσις. φήμη. λόγος. ἔστι δὲ καὶ ποταμὸς ἐνδότερος τῆς σκυθίας φάσις καλούμενος.
Φάσκοντες. λέγοντες.
Φάσκει. λέγει.
Φατνώματα. σανιδώματα.
Φατέ. λέγετε.
Φατρία. σύνταγμα. ἢ συγγένεια. οἷον πατρία.
Φαῦλος. κακός. πονηρότατος.
Φαῦσιν. φῶς. φέγγος. αὐγήν.
Φαυλίστρια. ἡ καταγελῶσα. καὶ ἐξουδενοῦσα.
Φαινακίζει. χλευάζει.
Φαινακισθείς. ἀπατηθείς.
Φαίνακα. χλευαστήν. ἀπατεῶνα.
Φερνή. προίξ. φερνή. τὰ φερόμενα ὑπὸ τοῦ ἀνδρὸς τῇ γυναικί.
Φερώνυμον. ἀληθεῦον ὄνομα.
Φερέοικος. ὁ κοχλίας καὶ ἡ χελώνη. ὅτι φέρουσι τὸν οἶκον. ἀφερέοικος δέ. ὁ μὴ φέρων ἢ ἔχων οἶκον.
Φέρουλα. ἡ κρούουσα. ἐκ τοῦ φερίρε.
Φέρβειν. τρέφειν.
Φέρτερος. βελτίων. ἰσχυρότερος.
Φέριστε. προσκυνήσατε. κράτιστε. ἐξοχώτατε.
Φερέζωον. φέρον ζωήν.
Φερέσβιος. ζωοποιός.

Φεραυγές. κατάλαμπρον.
Φέρειν. βαστάζειν.
Φέρετρον. ἡ τῶν νεκρῶν κλίνη.
Φερνιεῖ. προικίσει.
Φερέγγυος. ἀξιόπιστος. ἐγγυητὴς φέρων τὸ βέβαιον.
Φειδοῦς. φύσεως εὐσπλαγχνίας.
Φειδωλός. σκνιφός.
Φειδώ. φεισμονή. κνιπία.
Φεῦ. σχετλιαστικὸν ἐπίρρημα ἀντὶ τοῦ οἴμοι.
Φευκτόν. φυγῆς ἄξιον.
Φηγός. δρῦς.
Φαυλίτης. φιλητής. ὁ λῃστὴς καὶ κλέπτης.
Φήλικα. σῦκα.
Φῆλος. ὁ ἀπατηλός.
Φημί. λέγω.
Φῆν. εἶπον. ἢ λέγω.
Φήμη. λόγος. ἀγγελία. λαλία.
Φηνάστης. δειξάστης.
Φησί. λέγει.
Φῇς. λέγεις.
Φήσομαι. λέξομαι.
Φθάννει. προτρέχει. προκαταλαμβάνει.
Φθαρτόν. θνητόν. δεχόμενον ἀλλοίωσιν ἢ διάλυσιν.
Φθαίημεν. φθάσομεν.

Φθήσονται. διαφθαρήσονται.
Φθήσεται. φθάσει ἢ καταλήψεται.
Φθιρ. ἡ ἐκ τῆς τοῦ στόματος φθορᾶς γινομένη. καὶ ὁ καρπὸς τῆς πύτιος.
Φθίνει. λήγει. ἢ ἀναλίσκεται.
Φθιτοί. φθαρτοί.
Φθιμένος. ἐφθαρμένος.
Φθόη. φθορά.
Φθιάδος. θετταλικῆς.
Φθορά. ἐστιν ἡ ἀπὸ τοῦ ὄντος ἐπὶ τὸ μὴ ὂν μεταβολή.
Φθίνοντος. λήγοντος. ἐλαττουμένου.
Φθίνουσαν. ἐλαττουμένην.
Φθῆ. ἔφθασε.
Φθόνος. πόνος. λύπη ἐπὶ τῇ τοῦ πλησίον εὐπραγίᾳ.
Φθινόπωρον. ὁ σεπτέμβριος καὶ ὀκτώβριος καὶ νοέμβριος. παρὰ τὸ φθίνειν τουτέστι παύειν ἐν αὐτοῖς τὴν ὀπώραν.
Φιάλη. μέγα ποτήριον.
Φῖ. ὅτι φαιὸν τὸ μέλαν. μέλαν δὲ ἐστι τὸ σκοτεινὸν οὕτω καὶ τοῦτο περὶ τὴν ἐκφώνησιν. κακόφωνον γ.
Φήνη. πετεινὸν ἴσον ἀετοῦ.
Φιλοπυστεῖ. ἡδέως ἐρωτᾷ φιλοπραγμόνως ἀκοῦσαι καὶ μαθεῖν βούλεται.
Φίλαιρις. ἀναιδής.

Φιλομειδὴς. φιλόγελως.
Φιλαπεχθήμων. φιλομίσης. φίλεχθρος.
Φιλαίτατος. φίλος. φιλητὸς.
Φιλοθεάμωσιν. φιλοθεωρηταῖς.
Φιλυδρίας. φιλῶν τὸ ὕδωρ.
Φιλοτιμίαν. μεγαλοψυχίαν.
Φιλοτιμίας. δωρεᾶς. κενοδοξίας.
Φιλοπονίαι. σπουδαὶ ἐργασίαι. παρὰ τὸ φιλεῖν πονεῖν ὅ
ἐστι ἐργάζεσθαι.
Φίλον. προσφιλὲς.
Φίλα. προσφιλῆ. εὐάρεστα.
Φίλαυτος. ὁ ἑαυτοῦ μηδένα προκρίνων.
Φίλος. ἐστιν ὁ συναλγῶν καὶ συγχαίρων τῷ φίλῳ.
Φιλοτίμως. μεγαλοδώρως. ὑπερμέτρως. ἐπιμελῶς.
Φιλοφρόνως. προθύμως. σπουδαίως.
Φιλόστοργοι. φιλίαν τηροῦντες.
Φιλοφροσύνης. ἀγάπης.
Φιλολόγος. ἀσκητὴς λόγιος.
Φιλήτης. ὁ λῃστής.
Φιλόσοφος. ὁ πάντων πειραθεὶς.
Φιλόνεικος. φίλαρις. ἀναιδὴς.
Φιλότητι. συνουσίᾳ.
Φιλοφρονούμενον. παραμυθούμενον.

Φιλόπονος. φίλεργος.

Φιλοσοφία. φιλία σοφίας.

Φιλοσοφία. ἐστιν ἠθῶν κατόρθωσις μετὰ δόξης τῆς περὶ
τοῦ ὄντος γνώσεως ἀληθοῦς.

Φιλοπότης. ὁ φιλῶν τὰ συμπόσια. φιλοποτὴς δὲ ὁ
ἀγαπῶν πίνειν.

Φιμοῖ. ἄρχει.

Φιμοῦν. ἐπιστομίζειν.

Φίτρων. κορμῶν.

Φίσκος. δημόσιον. ταμιεῖον πολὺ χρήματα.

Φλαῦρον. φαῦλον. ἢ κοῦφον.

Φλαμμουλάριοι. ὧν ἐπὶ τὰς ἄκρας τοῦ δόρατος φοινι-
κᾶ ῥάκη ἐξήπτηνται.

Φλέγει. καίει.

Φληνώσας. φλυαρήσας.

Φλήναφος. μωρολόγος. φλύαρος.

Φλεγμενόντων. φυσόντων.

Φλὸξ. ἡ καρδία καὶ ἡ πυρά.

Φλιαὶ. τῆς θύρας αἱ παραστάδες.

Φλογμὸς. καῦμα. ἐκπυράκτωσις.

Φλυδούμενος. φλογιζόμενος.

Φλοῖσβος. ἦχος. ταραχή.

Φλοιὸς. λεπὶς ἢ τὸ λέπυρον.

Φλογίνην. πυρίνην. καυστικήν.

Φλυκτίδες. τὸ ἀπὸ πυρὸς φύσημα. ἢ ὁ καλούμενος ἄνθραξ.

Φλοιδούμενος. ἐκ τοῦ φλοίσβος τοῦ σημαίνοντος τὸν κολλασμὸν τοῦ πυρὸς ἀντὶ τοῦ φλογιζόμενος.

Φοινικοῦν. τὸ μέλαν. γίνεται δὲ παρὰ τὸ φοινίσσω τὸ βάπτω. τοῦτο παρὰ τὸν φοινόν. ἐξ οὗ μετὰ τοῦ ἐπιτατικοῦ δα δαφοινὸν τὸ πάνυ μέλαν. τοῦτο παρὰ τὸ φόνος. πλεονασμῷ τοῦ ι καὶ καταβιβάσει τοῦ τόνου δαφοινόν.

Φοινικοῦν. πυρὸν κόκκινον.

Φοινός. πυῤῥός. ξανθός.

Φοιτητής. ὁ μαθητὴς καὶ διδάσκαλος.

Φοιτᾷ. παραγίνεται. περιέρχεται.

Φοινίξω. αἱμάξω. βάψω.

Φοίνιξ. τὸ δένδρον.

Φοινίκη. ἡ χώρα ὀνομασθὴ ἀπὸ φοίνικος βασιλεύοντος. ἐν αὐτῇ.

Φοιτῶν. ἀναστρεφόμενος.

Φυτοκόμος. γεωργός.

Φοίτης. ὁ κήρυξ.

Φοιτεία. ἡ μάθησις. καὶ φοιτεία ἡ πορεία. φυτεία δὲ ἐκ τοῦ φυτεύω.

Φορεῖον. τὸ φέρον.

Φοῖβος. μάντις. ἢ ὁ καθαρός. ἢ λαμπρὰ θρίξ. ἢ ὁ ἀπόλλων.
Φολίδες. τοῦ ὄφεως αἱ λεπίδες.
Φολίδωτον. λεπιδωτόν.
Φολκός. ςραβός.
Φονῶντες. πρὸς φόνον θρασυνόμενοι. φονεύειν. ἐπιθυμοῦντες.
Φονᾶν. ἕτοιμος πρὸς τὸ φονεύειν.
Φοξός. ὀξυκέφαλος.
Φορητὴν. βασακτὴν.
Φορολόγος. ὁ τοὺς φόρους ἀθροίζων.
Φόρμιγγος. κιθάρας.
Φοράδων. νομάδων βοσκομένων.
Φοράδην. ὁρμητικῶς φερομένων.
Φορῆες. οἱ φέροντες.
Φορέεσκον. ἔφερον. ἐβάσαζον.
Φορὰν. ὁρμὴν.
Φορβαίαν. περιςόμιον. καπίςριον.
Φόρτος. ὁ τῶν πλοίων γόμος. λέγεται δὲ καὶ πᾶν φορτίον.
Φορύξαντες. μολύναντες.
Φόρκυνος. λιμὴν.
Φοριαμὸν. κιβωτὸν.
Φορεύμενα. φερόμενα.
Φορυτὸς. ἀκαθαρσία.

Φόρος. τέλεσμα. καὶ φόρος ὁ τόπος.
Φορτὶς. φορτηγὸς ναῦς.
Φορτὶς. πλοῖον πεφορτωμένον. ἡ γεννήτρια γυνή.
Φράτωρ. ὁ συγγενής.
Φοῦρνος. κρίβανος.
Φουκάτζα. φώκου ἄσσα ὅ ἐστι πυρόπληκτος.
Φοῦρ. κλέπτης.
Φραγελλῶ. τὸ κατὰ νώτου τύπτω ἐκ τοῦ φραγέλλιον. σημαίνει δὲ σειρὰν ἐκ σχοινίων πεπλεγμένην. παρῆκται δὲ ἐκ τοῦ ἔθνους. φραγελλοὶ γάρ εἰσι τινὰ ἔθνη.
Φράζονται. σκέπτονται.
Φράζεο. διανοοῦ. βουλεύου. λέγε.
Φράσις. λέξις. διάλογος. ἑρμηνεία.
Φραδέος. συνετοῦ.
Φράσον. λέξον. ἑρμήνευσον.
Φρεώρυχος. φρεατορύκτης.
Φρενήρης. φρόνιμος.
Φρενὶ. διανοίᾳ. γνώμῃ.
Φρεναπατᾷ. χλευάζων. διαπαίζει
Φρενοβλάβεια. μωρία.
Φρέαρ. πηγή. λάκκος. κρήνη.
Φρὴν. διάνοια.
Φρήτρη. φατρία. συγγένεια.

Φρίκη. τρόμος.

Φριμάσσεται. νεανιεύεται. ἐξαγριοῦται. ἀτάκτως πηδᾷ ἢ χραιμετίζει.

Φόρμιγξ. κιθάρα.

Φρίσσειν. τὸ ἐξορθοῦν τὰς τρίχας

Φρίξ. ἡ ἄνωθεν ἐπιπολῆς τῶν χυμάτων κίνησις. ἢ ὁ ἐπιπολάζων τῶν κυμάτων ἀφρός. ὅταν ἄνεμος πνεῖν ἄρχηται.

Φρυαττόμενος. ὑπερηφανευόμενος.

Φρουρεῖ. φυλάσσει.

Φροῦδα. ἀφανῆ. ἄφαντα.

Φροῦδος. ἄρδην ἀφανής. φυγάς.

Φρουρούς. φύλακας.

Φροιμία. προοίμια. Φρονέων.

Φρούριον. ὀχύρωμα. κάστρον.

Φρόνησις. ἀκρίβεια νοῦ.

Φρόνησις. διάνοια νοῦς.

Φρόνησις. ἡ φέρουσα ὄνησιν. φρόνησίς τις οὖσα.

Φρόνημα. βούλημα. θέλημα.

Φροντιστήριον. διατριβὴ ἢ μοναστήριον. ὅπερ ἀττικῶς σεμνίον καλεῖται.

Φρυκτωρίας. δᾳδουχίας. λυχναψίας. ἢ παραφυλακῆς.

νυκτερινῆς. ὅταν πολέμου ἐνεστῶτος διὰ πυρκαϊᾶς.
δηλοῦσι. ποιοῦντες φανόν.
Φρόγειν. φρύγειν ἀττικῶς.
Φρύαγμα. ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτηρίων ἠχὴ
ἀγρίῳ φυσήματι συνεμπίπτουσα. λαμβάνεται δὲ καὶ
ἐπὶ τῶν μέγα φρονούντων καὶ ἀλόγως ἐπαιρομένων
Φύσις. οὐσία. ἡ προαίρεσις. ἰῶ Δα.
Χρὴ εἰ. ὅτι ἔμψυχον τὸ φυτὸν διὰ τὸ ἔχειν θρεπτικὴν
καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν. ἀναίσθητον δὲ
οὐ γὰρ ἔχει αἴσθησιν.
Φύει. βλαστάνει.
Φυεῖσα. βλαστήσασα. ὑπάρξασα.
Φύζα. φυγή.
Φυζανική. φυγή. δειλή.
Φύζα. δειλία.
Φύει. φύσις. τρόπος. βλάστημα.
Φύσις. ἐστὶ κυρία καὶ γεννητικὴ τῶν ὑποστάσεων τῶν
ἐν αὐταῖς. καὶ διὰ τοῦτο ὑποστάσεις λέγονται. ὡς
ὑπὸ τὴν φύσιν ἱστάμεναι τὴν αὐτῶν πηγήν. φύσις
δὲ λέγεται ἐκ τοῦ φύειν τὰς ὑποστάσεις. φύσις
ἐστὶν ἐξ οὗ φύεται τὸ φυόμενον πρῶτον ἐνυπάρχον-
τος. φύσις ἐστὶ τὸ εἶναι ἕκαστον ποῖον ἢ ποῖον.
φύσις ἐστὶν τὰ προσώπου ἰδιώματα τοῦ ἀνθρώπου
φύσις, ἐστὶν ἡ διαφορὰ τοῦ ποιοῦ τῶν οὐσιῶν.

Φύκη. ὧ τὰς οἰκείας ὄψεις αἱ γυναῖκες χρίουσι. λέγε-
ται δὲ καὶ τὰ βρία φυκία.
Φυλέτης. ὁμόφυλος.
Φῦλα. ἔθνη.
Φιλοκρίνει. διακρίνει. δοκιμάζει. περιέργως κατασκοπεῖ.
Φῦλον. γένος. ἔθνος.
Φυλή. ἔθνος. ἢ τάγμα. ἢ μέρος πόλεως.
Φύλοπις. μάχη.
Φύντων. γεννηθέντων.
Φύξις. δειλός. φυγοπόλεμος.
Φύσας. γεννήσας.
Φυξήλιδας. φυγάς.
Φυομένας. γεννωμένας. βλαστανούσας.
Φύρει. μολύνει. συγχεῖ.
Φυρῶ. μιγνύω.
Φυρμόν. ἀφανισμόν. μολυσμόν.
Φυρμός. σύγχυσις. μίξις.
Φύρδην. συγκεχυμένως. ἀναμὶξ. πεφυρμένης ἀτάκτως.
Φυρᾶν. ζυμοῦν. ἀναμάσσειν τὰ ἄλευρα.
Φυσιολογεῖν. λόγους φύσεως ἐξαγγέλλειν. ἢ περὶ φύσε-
ως διαλέγεσθαι.
Φυσιοῦται. ἐπαίρεται τυφοῦται.
Φυλακή. σημαίνει καὶ τὸ σκοτεινὸν καὶ ἀφθεγγὲς
οἴκημα. ὡς τὸ ποιὰ φυλακή. καὶ τὸ τρίτον μέρος

τῆς νυκτὸς παρ' ὁμήρῳ. παρὰ δὲ τῇ ἐκκλησίᾳ τὸ δ' μέρος τῆς νυκτός. ὡς τό. τετάρτῃ δὲ φυλακῇ τῆς νυκτός. σημαίνει καὶ τὴν γνῶσιν καὶ θεωρίαν. ὡς ἀμβακοὺμ τῷ προφήτῃ δοκεῖ. ἐπὶ τῆς φυλακῆς μου στήσομαι. σημαίνει καὶ τὸ στόμα. ὡς τό. ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου. σημαίνει καὶ αὐτὸ τὸ φυλάξαι. ὡς οἱ μὲν πρῶτας φυλακὰς εἶχον.

Φύσιγγες. τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα.

Φητηταὶ. μαθηταί.

Φυτοκόμος. φυτουργός. λέγεται δὲ καὶ ὁ σύνδενδρος τόπος διὰ τὸ τοῖς φυτοῖς κομᾶν φόρου χώρας.

Φυράματος. διαπλάσεως.

Φύτλην. φύσιν. γενεάν.

Φωτοειδῆ. λελευκασμένη.

Φῶ. εἴπω. λέξω.

Φωλεούς. κοίτας θηρίων.

Φῶμεν. εἴπωμεν.

Φωνασκεῖ. φωνεῖ. ἐπιμελεῖται.

Φώνει. κράζει. ἢ κράξον.

Φωράσαντες. εὑρόντες.

Φώρ. ληστής.

Φωραθείς. εὑρεθείς. καταληφθείς.

Φῶρες. λησταί. κλέπται.

Φωρᾶν. τὰ κλέμματα ζητεῖν.

Φώριον. κλέμμα.

Φωραθῶσιν. ἐλεγχθῶσι. καταληφθῶσι. φανερωθῶσι.

Φωρυτῷ. φορβόρῳ. ἀκαθαρσίᾳ. συρφετῷ.

Φωριαμός. κιβωτός.

Φὼς. ὁ ἄνθρωπος ἀττικῶς

Φώσκω. τὸ φαίνω. ἐξ οὗ σάββατον ἐπέφωσκεν.

Φωσφόρος. τὸ φῶς ἀνατέλλων. ἢ ὁ τῆς ἀνατολῆς προτρέχων ἀστὴρ φαεινός.

Φώς. ὀξυτόνως μὲν ὁ ἄνθρωπος ἀπὸ τοῦ φωτίζειν τῷ λόγῳ τὰ πάντα. περισπωμένως δὲ τὸ πῦρ. καὶ μεταφορικῶς ἡ χαρά.

Φῶς. παρὰ τὸ πόῤῥωθεν φαίνειν καὶ καθορᾶν τοὺς πάντας.

Φῶς. σημαίνει δ΄. φῶς ὁ θεός. φῶς ἡ ἡμέρα. φῶς τὸ πῦρ. φὼς καὶ ὁ ἄνθρωπος.

Φῶτα. ἄνθρωπον. ἢ τὰ ὄμματα.

Φῶτι. ἄνδρες. ὑϊκῶς.

Φωρυτόν. φρυγάνων σωρόν.

# Αρχὴ τοῦ Χ.

Χάζετο. ἀνεχώρει.

Χάζεο. ἀναχώρει.

Χάζεο, τῆλε. ἀναχώρει μακρὰν.

Χαζομένῳ. ἀναχωροῦντι.

Χαίτην. τὴν κόμην τῶν τριχῶν.

Χαίρειν, φράσαντες. ἀποταξάμενοι. ἀπογνῶναι.

Χαίρειν. ὅτι λέγει τις χαίρειν σοι λέγει ἤτοι κατ᾽ εὐφημισμὸν. ἀντὶ τοῦ πόῤῥωθέν σε ἀσπαζόμενοι. ὃ προσποιοῦμαι ὅτι παρει.

Χαίρετε. θαῤῥεῖτε.

Χάλεσι. τοῖς ὄνυξι.

Χαλεπήνας. ἀγανακτήσας.

Χάλκιον. τὸ θερμαντήριον σκεῦος.

Χαλινὸς. ἐκ τοῦ χαλᾶν τὰ ἡνία.

Χάλαζα. ἐκ τοῦ χαλᾶσθαι ἄνωθεν.

Χαλέπτει. κακίζει.

Χαλκεομήστωρ. ἰσχυρόφρονος.

Χαλκὶς. ἡ γλαῦξ εἶδος ὀρνέου.

Χαλκοκορυστὴν. χαλκῷ ὁπλιζόμενον. ἢ κράνος ἔχοντα χαλκοῦν.

Χαλεπῶς. δυσκόλως.

Χαλίφρων. ὁ ἀσύνετος. κυρίως δὲ ὁ μέθῃ ἀφρένων. χάλις γὰρ ὁ ἄκρατος οἶνος παρὰ τὸ χαλᾶν ἀνιέναι τὰς φρένας.

Χαμαιλέων. διὰ τὸ ποικίλον τοῦ εἴδους.
Χαμιτύπη. ἡ πόρνη παρὰ τὸ χαμαὶ τύπτεσθαι ἀδόξως.
Χαμαίζηλοι. ταπεινοί. ἢ δίφροι κοιλώδεις.
Χαμεύνης. χαμαίκοιτος.
Χαμαιπετεῖ. ταπεινῷ καὶ χαμαὶ κειμένῳ.
Χαμαιταιρίς. πόρνη.
Χαμαιτυπεῶν. τῶν πολὺ μετεχόντων τῶν συνουσιῶν.
Χανδόν. ἀπλήστως. ἀθρόως. χωρητικῶς.
Χανδὸν πιεῖν. κεχηνότως καὶ ἀθρόως πιεῖν.
Χόνδροι ἁλῶν. θρόμβοι ἅλατος. παχὺ ἅλας.
Χαράδριος. παρὰ τὸ χαίρειν τοῖς ὕδασιν. ἑλῶδες γὰρ τὸ ὄρνεον.
Χάραγμα. κοίλωμα ὄρους.
Χαράδραι. αἱ ὑδροφορίαι καὶ τὰ κοιλώματα. οἱ μικροὶ ῥύακες.
Χαριν τούτου. διὰ τοῦτο.
Χάρις. δωρεά. ἀρετή καλλονή
Χαρακτηρίζει. διὰ τῶν αὐτῶν χαρακτήρων σημαίνει.
Χάραξ. φραγμός. ὀξέσι ξύλοις. ἢ καλάμοις ἐχόμενος.
Χαράκια. τὰ ὑποστηρίγματα.
Χαράβδη. λύμη σίτου
Χάρακες. ἀκάνθαι ἢ κάλαμοι.
Χάρακα. χαράκωμα. περίφραγμα.

Χαρωπὸς. ἐπιχαρὴς. εὐόφθαλμος.
Χαρύβδις. ἡ ἀναπινομένη θάλασσα περὶ τὰ γάδειρα. καὶ πάλιν ῥαγδαιοτέρως ἐπαναστρέφουσα. εἴρηται δὲ καὶ πᾶν τὸ εἰς χάος καταπιῶν.
Χαρία. βουνὸς. σωρὸς.
Χαρίεσσαν. χαριεστάτην. τερπνήν.
Χαρίει. τερφθείη. εὐφρανθείη.
Χαριστήρια. εὐχαὶ ἐπινικίοις εὐχαριστηρίαν ἔχουσαι.
Χαρακτὴρ. ἐκ τοῦ χαράσσω καὶ σκιάζω καὶ μορφῶ.
Χάρμη. ἡ μάχη. ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τὸ χαίρειν τῇ μάχῃ.
Χαρασσομένη. γραφομένη.
Χάρτης. παρὰ τὸ χῶ τὸ χωρῶ. ὃ τὰ γραφόμενα χωρῶν. ἢ διὰ τοὺς χαρακτῆρας.
Χάσμα. χίσμα. χάος.
Χαυόνας ἄρθους ἀναφυρθέντας κριθίνους. ἢ λάγανα ὀπτά.
Χάος. δηλοῖ τὸ μέγα καὶ ἀπέραντον χώρημα.
Χερνίβιον. παρὰ τὸ τὰς χεῖρας νίπτειν. ἔστι δὲ ὕδωρ τὸ ἐκ τοῦ προχόου χεόμενον. τὸ δὲ ὑποκάτω λέγεται λέβητιον.
Χελιδὼν. ἢ παρὰ τὸ τὰ χείλη δονεῖν. ἢ παρὰ τὸ χείλη οἰδαίνειν.

Χαιρουβιμ. ἐπὶ ἑνικοῦ διφθόγγῳ. ἐπὶ δὲ πληθυντικοῦ διὰ τοῦ ι. ἔστι δὲ πλῆθος γνώσεως ἢ χύσις σοφίας.
Χαιρέσασθαι. ὑποτάξαι.
Χαιμάῤῥους. ὁ ποταμός. παρὰ τὸ ἐν τῷ χειμῶνι ῥεῖν ἢ διὰ τὸ χέεσθαι εὐμαρῶς. ἤγουν εὐκόλως.
Χειροβοσκός. ὁ διὰ χειρὸς ζῶν. χοιροβοσκὸς δὲ ὁ διὰ τοὺς χοί.
Χειρόναξ. τεχνίτης. χαλκεύς
Χειροτονία. ἐκλογὴ παντὸς δήμου.
Χειροηθές. πρᾶον. ἥμερον.
Χειρόκμητα. ὑπὸ χειρῶν γεγλυμμένα. ἢ περιεξεσμένα. ἢ κατειργασμένα.
Χέα. καὶ χειαί. αἱ καταδύσεις τῶν ὄφεων φωλεοί.
Χειρόμακτρον. ὃ ῥωμαῖοι μανδύλιον λέγουσι.
Χειρόγραφον. συμβόλαιον. γραμματεῖον χρέους ὁμολογητικόν
Χεῖρε. τὰς χεῖρας δυϊκῶς.
Χείμεθλον. τὸ ἐν τῷ χειμῶνι γενόμενον ἐν ταῖς ῥωξὶ τῶν ποδῶν ἕλκος ἢ ἀποκαύματα
Χείριστα. δεινά. κάκιστα.
Χείριστον. χείρονα.
Χέρδοπον. καὶ χέρδοψ. τὰ ὄσπρια.
Χεῤῥονησία γῆ. ἡ εἰς θάλασσαν ἐκνεύουσα. ἢ μήτε χέρσος. μήτε θάλασσα. ἀλλὰ περικλυζομένη καὶ μίαν διέξοδον ἔχουσα.

Χέρσω. γῆ.
Χερσία. ἐρημία.
Χεῦμα. ῥεῦμα.
Χεύμασι. προχοή. ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασ=
σαν.
Χῆτος. ἔνδειαν.
Χέρσον. ὄνομα. ἐπὶ μὲν κυρίου. φυλάττει τὸ μέγα. ἐπὶ δὲ συγ=
κριτικοῦ οὐ φυλάττει.
Χερνίτην. ἀπὸ χειρῶν ζῶσαν. Χέραν. γερδίαν πενιχράν.
Χηλή. ὁπλή. ὄνυξ βοὸς καὶ προβάτου. λέγεται δὲ καὶ
τὰ τῶν θαλαττίων καρκίνων σώματα χηλαί.
Χήραμος. ὀφολεὸς τοῦ ὄφεος.
Χηλὸς. τὸ κιβώτιον.
Χήρα. ἡ γυνή.
Χὴν καὶ Χῆνα. τὸ χηνάριον.
Χῆτις. ἡ στέρησις.
Χθονὸς. γῆς.
Χθαμαλὸς. ταπεινὸς. ὁμαλὸς. ἴσος.
Χθαμαλοῖς. χαμηλοῖς.
Χθαμαλὸν. ἀσθενές.
Χθιζινοὶ. χθεσινοί.
Χθονίοις. γηΐνοις.
Χθόνιος. γήϊνος.
Χίδρα. στάχυες ἀπαλοῦ σίτου. ὁ νέος καρπὸς. ἢ ἄλευ=
ρος τὸ ἐξ ἀπαλῶν κριθῶν φρυκτὸν γενόμενον. Χι=
δαρά τινα ὄντα. καὶ χίδρα τὰ τῇ χειρὶ ἀνασπώμενα.

Χιδρα. ἐρικτὰ. ἐκ κριθῆς νέας ὡς σεμίδαλις.
Χιλὸς. τροφή. καὶ ἵππων χόρτα.
Χίμεραν. τὸ τρίμορφον θηρίον ἐνταῦθα δηλοῖ. ὅπερ ἐν τῇ λυκίᾳ ὑπῆρχεν.
Χίμαρος. τράγος.
Χίμερα. ἡ περισυνὴ αἶγα.
Χίδρον. νέον καρπόν.
Χι. ὅτι κεομένην ἔχει τὴν ἐκφώνησιν. ἄλλοι δὲ χι τοῦτο εἶπον. ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν ἀλλήλως κατὰ μέσον χιζούσην.
Χιονοθήσονται. λαμπρυνθήσονται.
Χίτρα. σῖτος φρυτιόμενος.
Χῆρος. κενὸς. ἔρημος.
Χίμερα. αἰγὶς ἀγρία ἡ ἐν χειμῶνι τεχθεῖσα.
Χιτών. ὑποκάμισον. ἐτυμολογεῖται δὲ χιτὼν παρὰ τὸ κεχύσθαι ἡμῖν τοῖς ὤμοις χυτῶν. καὶ τροπῇ τοῦ υ εἰς ι.
Χιτοπῆ. οὐδέτερον δηλοῦν τὴν ἔνδειαν.
Χλαῖνα. παρὰ τὸ χλιαίνειν ὅ ἐστι τὸ θερμαίνειν χλαμύς.
Χλαῖνα. καὶ χλανὶς διαφέρει. χλαῖνα γὰρ τὸ ἱμάτιον ἁπλῶς. χλανὶς δὲ ἐπὶ τοὺς ὤμους ἀπῃωρημένη. καὶ ἄλλως. χλαμὺς τὸ περιφερὲς τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον κυκλομάντιον.
Χλῆδος. ὁ σωρὸς τῶν λίθων.

Χλεύη. ἀπάτη.

Χλανὶς. χειμερινὸν ἱμάτιον πορφυροῦν. 10

Χλιδὴ. τρυφή.

Χλιδῶσα. τρυφῶσα. σπαταλῶσα.

Χλιδόνα. κόσμον περὶ τὸν τράχηλον ἢ βραχίονα ὃ καλεῖται + βραχιόνος.

Χλιάζεσθαι. γαστρίζεσθαι.

Χλοάζει. βλαστάνει.

Χλούνης. ὁ χοῖρος.

Χρήσασθαι. πρᾶξαι. ἢ γαμῆσαι. ἢ ἄλλο τι ποιῆσαι ἢ ἀποκτεῖναι.

Χνοῦς. λεπτὸς. κονιορτός.

Χόλος. ὀργή.

Χόας. ἐναγίσματα ἐπὶ νεκροῖς

Χόριον. παχὺ ἔντερον.

Χονδρίτον. παχὺ σεμίδαλις γενομένη.

Χοϊκὸς. γηγενής. ἐκ χόος πήλινος ὤν.

Χολάδες. ἔντερα.

Χοόμενος. λυπούμενος. ὀργιζόμενος

Χολέσαι με. ὀργισθήσομαι.

Χορηγία. δόσις. παροχή.

Χολέρα. ἔκκρισις διὰ στόματος καὶ γαστρός.

Χοῖρος. ὁ τὸν χοῦν ἐρευνῶν.

Χοιρογρύλλιος. ὕστριξ. εἶδος λαγοῦ.

Χοιράδες. πετρῶν ὄχθοι. ἢ ἐξοχαί.

Χολωσάμενος. ὀργισθείς.

Χορὸς. ἄθροισμα.

Χοροστάτης. χοροῦ κατάρχων.

Χοῶν. θυσιῶν.

Χόριον. τὸ κάλυμμα τὸ περιέχον τὸ ἔμβριον ἐν τῇ κοιλίᾳ.

Χορὸς. κύκλος. στέφανος. μέτρον. εἴρηται δὲ τὸ χῶμα.

Χοαί. αἱ ἐπιχύσεις.

Χόνδρος. τοῦ στομάχου ἔντερον. ἔνθεν καὶ ὑποχόνδριον
καὶ χορδὴ καὶ λοιπὸν φύσκιρο ἔντερον.

Χορταῖος. ὁ δασὺς χιτὼν ᾧ χρῶνται οἱ παρθένοι.

Χολὴ. παρὰ τὴν ὀργὴν. καὶ τὴν μελανίαν. ἢ διὰ τὸ ἔ=
χεσθαι τὴν αἰτίαν εἰς ὅλον τὸ στόμα.

Χράνας. μιάνας. ῥυπώσας.

Χραισμεῖν. βοηθεῖν.

Χραισμῆσαι. βοηθῆσαι.

Χρεμετίσαι. κράξαι. ὡς ἵππος.

Χρεὼν. ἐπίρρημα ἀντὶ τοῦ χρή.

Χρήσιμος. εὐλαβής.

Χραίμπτεται. ἦχον τῷ στόματι ἀποτελεῖ. πέρεται.

Χρεόμενος. χρώμενος.

Χρεῶν ἀποκοπαί. ὅταν τὰ ἀπὸ τῶν πενήτων ἀφαιρεθῶσι, ἤγουν ἵνα οἱ πένητες ἄφεσιν λάβωσι.

Χρεμετισμός. ἡ φωνὴ τῶν ἵππων.

Χρή. προσῆκόν ἐστι.

Χρή. ἐπίρρημα ὁμοίως καὶ τὸ δεῖ.

Χρηστήριον. μαντεῖον.

Χρῄζω. θέλω.

Χρῆμα. πρᾶγμα. πλοῦτος. ὁλκὴ χρυσίου. λῆμμα.

Χρῆμα. κυρίως τὸ διὰ χειρὸς ἔργον. οἷον χέρημα.

Χρησμόδημα. καὶ χρησμοδότημα. τὸ μάντευμα.

Χρηματεῖ. ἀποκρίνεται. προλέγει.

Χρηστοί. ἐπιεικεῖς. ἀγαθοί.

Χρησμοδοτούμενα. προλεγόμενα.

Χρησμός. προφητεία. θεοφανεία.

Χρείω. μαντεύομαι.

Χρήστης. ὁ δανείζων καὶ δανειζόμενος.

Τὸ Χριστὸς ὄνομα τῆς ὑποστάσεως λέγομεν. οὐ μονοτρόπως λεγόμενον. ἀλλὰ τῶν δύο φύσεων. ὑπάρχων σημαντικόν αὐτὸς γὰρ ἑαυτὸν ἔχριστ. χριόμενος ὡς θεὸς τὸ σῶμα τῇ θεότητι αὐτοῦ. χριόμενος δὲ ὡς ἄνθρωπος. αὐτὸς γὰρ ἐστι τοῦτο κἀκεῖνο. χρίσις δὲ ἡ θεότης τῆς ἀνθρωπότητος.

Χρήω. διὰ τοῦ η τὸ δανείζω. ἐξ οὗ καὶ χρήσασθαι τὸ

δανείσασθαι. Χρίω δὲ τὸ βαπτίζω καὶ κεντρίζω.

Χρίω. ἀλείφω.

Χρεῖσθαι. Χρᾶσθαι. προσφέρεσθαι.

Χρηστός. ὁ ἀγαθὸς καὶ Χρήστης ὁ δανείζων καὶ ὁ δανειζόμενος.

Χριστός. Χρίσμα διὰ τοῦ ι. ἀπὸ τῆς τοῦ ἐλαίου Χρήσεως.

Χρήματα. ἀργύρια. Χρίματα δὲ τὰ πράγματα.

Χρίμπτεται. προσπελάζεται. προσεγγίζει.

Χρίμπτω. περιλαμβάνω. ἐγγίζω.

Χρύσειος. σαυρός.

Χρωός. ἄσαμην. τοῦ στόματος ἐκορέσθην.

Χρυσολάχανον. ὡς ἀναγκαῖον καὶ Χρήσιμον τῇ βρώσει.

Χρυσότευκτος. ἐκ Χρυσίου κατασκευασμένος.

Χρυσηλακάτου. Χρυσοτόξου.

Χρυσάορον. Χρυσόξιφον.

Χρυσάμπυκας. Χρυσοχαλίνους.

Χρυσοτόρευτα. Χρυσόγλυφα.

Χρυσαυγοῦντα. στίλβοντα. ἀστράπτοντα.

Χρωτός. στόματος ἰδέας.

Χρώς. στόμα.

Χύδην. κεχυμένως.

Χυδαῖος. εὐτελής

Χυλός. ὁ ἐκπιασμός.

Χυμός. σίελος ἢ πῆγμα ὑγρόν.
Χυτρόπους. ἑστία. τὸ φωκίν. ἐκ τοῦ φυσᾶσθαι.
Χυμῶν. πημμάτων ὑγρῶν.
Χωρίον. ἐν ᾧ κατοικοῦσιν οἱ ἄνθρωποι. Χόριον δὲ τὸ ἔλυτρον τὸ κάλυμμα τὸ συγγεννώμενον ἐν τῇ κοιλίᾳ τοῖς βρέφεσιν.
Χῶμα. ὕψωμα γῆς. ὅπερ οἱ πολέμιοι ἐν ταῖς πολιορκίαις εἰώθασι προχοῦν τὰ τείχη.
Χωρήσασθαι. προσδέξασθαι.
Χωρῆσαι. τὸ δέξασθαι. Χωρῆσαι τὸ διαμερῆσαι.
Χῶρος. ὁ τόπος
Χωλοτοῖσιν. ὀργίλοις.

## Ἀρχὴ τοῦ Ψ.

Ψακάς. καὶ ψιάδες. ῥανίδες. ἢ κατὰ λεπτὸν τοῦ ὕδατος κατάβασις.
Ψάλπιγξ. κιθάρα.
Ψαλίον. χαλινός. Ψελίον τὸ ἐπὶ τοῖς ἄκροις τιθέμενον τῶν βραχιόνων.
Ψάμαθος. ἡ παραθαλαττία ἄμμος.
Ψαρούς. ποικίλους.
Ψαῦσαι. προσεγγίσαι.

Ψάφαρον. ἀσθενές. ἐλαφροῦν. εὔσαθρον.
Ψαλμῳδία. ψαλμὸς μετ᾽ ᾠδῆς λεγόμενος.
Ψαλτήριον. παρὰ τὸ τὰ ψαλλόμενα τηρεῖν.
Ψαλίδιον. ὅτι δύο ψέλια ἐν ἑνί.
Ψεδνή. ὀλίγη.
Ψεκάδων. ῥανίδων.
Ψέγει. μέμφεται. λοιδορεῖ. διαβάλλει.
Ψευδοεπεῖ. ψευδολογεῖ.
Ψεδνός. μαδαρός. ἀραιόθριξ.
Ψῆττα. εἶδος ἰχθύος.
Ψελλός. ἄναρθρος. τραυλός.
Ψαισά. ἄλφιτα. οἴνῳ καὶ ἐλαίῳ βεβρεγμένα.
Ψευδηγόρους. ψευδολόγους.
Ψευδάγγελος. ψευδῆ ἀγγέλων.
Ψευσάμενοι. παραβάντες. ἐπιορκήσαντες.
Ψευδῆ. ἀλλότοκα.
Ψευδομυθεῖ. ψευδολογεῖ.
Ψεῦδος. ἀπάτη.
Ψῆρες. οἱ κολοιοί.
Ψηφίς. ὁ μικρός. ψῆφος δέ. κρίσις. ἀπόφασις. δόγμα. ἀριθμὸς καὶ χειροτονία.

Ψήγματα. μικρὰ κομμάτια.
Ψηφισαμένων. κρινάντων. ἐπικρινάντων.
Ψηφίδες. μικροὶ λίθοι.
Ψηφοφορία. ἡ πολλῶν ψῆφος καὶ ἀποδοχή.
Ψηνὸς. ὁ φαλακρὸς.
Ψίχειν. καταμάσσειν.
Ψυλὸς. γυμνὸς.
Ψηλὸν. ταπεινὸν. μόνον. μικρὸν. γυμνὸν. μηδὲν ἔχοντα.
Ψίων. σημαίνει ἐλάττονά τινα οὖσταν.
Ψι. ὅτι συριγμὸν ἔχει αὐτοῦ ἡ ἐκφώνησις. ὅστις συριγμὸς οὐκ ἔστι τι. ἢ μόνον ψ. ἄλλοι δὲ ὅτι ἑνὸς ψαύει χρόνου ἄδειαν διπλοῦ.
Ψὶξ. ἡ ψίχα.
Ψιὰς. ψιάδιον.
Ψιὰς. ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις. ἐξ οὗ καὶ ψεκάδες.
Ψιθυρισμὸς. λέγεται ἡ λεπτὴ φωνή. ἐκ τοῦ ψιθυρίζω. τοῦτο δὲ ἐκ τοῦ ψίω τὸ λεπτύνω καὶ τοῦ θυρα. ὃ σημαίνει περιφραστικῶς τὰ χείλη.
Ψόγος. ὄνειδος. λάλημα. λοιδορία. μέμψις.
Ψοφοδεὴς. ὁ τοὺς ψόφους δεδιιὼς καὶ φοβούμενος.
Ψόφος. κτύπος καὶ ἡ θνῆσις τῶν κτηνῶν. ἐξ οὗ καὶ ψοφία τὸ θηλυκόν.

Ψύλλοι. ὄνομα ἔθνους.

Ψύα. ἡ σάρξ. ἡ ἐπιπολῆς οὖσα τοῖς ὀστοῖς. καὶ ψύα ὁ τοῦ ἀνθρώπου νῶτος. καὶ ψύα ἡ ὀπίσω οὖσα.

Ψυχή. πόσα σημαίνει. τὴν τοῦ στόματος κίνησιν. τὸ ζωτικόν. τὸ λογικόν. τὴν πνοιήν. τὸ αἷμα. καὶ τὸ λίπος.

Ψυκτήρ. σκεῦος ἔνθα διανίζουσιν ἀντὶ τοῦ πλύνουσι τὰ ποτήρια.

Ψύξουσι. ξηρανοῦσι.

Ψύξας. φυσήσας. ἀμβλύνας.

Ψυχρὸς. ἀσθενής.

Ψυχρολογία. ἀκαιρολογία. ψευδολογία.

Ψυχρολόγος. μηδὲν χρήσιμον λέγων.

Ψυχρὸς. κρυερὸς.

Ψυχολκοῦμαι. τῇ ψυχῇ ἕλκομαι.

Ψυχαγωγεῖ. ἀναψύχει. παραμυθεῖται

Ψυχικὸς. σαρκικὸς.

Ψύλλα. θηλυκὸν γάρ ἐστι.

Ψωμὸς. ἄρτος. σημαίνει καὶ τὰ μέλη τοῦ ἀνθρώπου.

Ψωμιεῖσι. θρέψεισι.

Ψώχοντες. λεπτύνοντες.

Ψολὸς. καπνὸς. αἰθάλη. κονία. φλόξ.

# Αρχὴ τοῦ Ω.

Ωα. τὸ λῶμα τοῦ ἐνδύματος. τὸ περισόμιον. τὸ ἄκρον τοῦ ἱματίου.

Ωάτω. ἀκούσομαι. ἀκούσομαι.

Ωα. καὶ τὸ ποδιαῖον μέρος.

Ωρος. ὁ ἐνιαυτὸς.

Ωμάλλετο. διωθεῖτο.

Ωρνυντο. ἀνεώρνυντο.

Ωγύγιον. ἀρχαῖον. παλαιὸν.

Ωδαν. οὕτω γαρ.

Ωδεπῶς. τοῦτον τὸν τρόπον.

Ωδεπῆ. οὕτως, πῶς.

Ωδε εἰπεῖν. συντόμως εἰπεῖν.

Ωδε. ἐνταῦθα. ἢ οὕτως σημαίνει δὲ καὶ τὸ νῦν. ἔστι δὲ ἐ-(-πίρρημα τοπικὸν.

Ωδὸς. θρῆνος. ἢ ὁ κιθαρῳδὸς.

Ωδύσατο. ὠργίσθη.

Ωδικῶς. ὁδύσας. φυσήσας.

Ωδη. ἐπίρρημα μεσότητος. ἀντὶ τοῦ οὕτως. πῶς.

Ωδὶς. πόνος. ἢ γέννησις.

Ωδίνω. τίκτω.

Ωδίνη. ὁ καιρὸς τοῦ τοκετοῦ.

Ωδῖνες. πόνοι. ἀλγηδόνες. λύπαι.

Ωδουν. ἐφλεγμένον.

Ωδωδότα. σεσηπότα.

Ω. εἴρηται παρὰ τὸ ἔω. ὃ ἐστι τὸ ὑπάρχω μακροῦ καὶ πλατὺν χαρακτῆρα ἔχων. διὰ τοῦ ὁμοίαν τῷ χαρακτῆρι τὴν ἐκφώνησιν ἀπηνέγκατο.
Ω. κλητικὸν ἐπίρρημα.
Ω. ὀξυνόμενον. σχετλιαστικόν.
Ω του. ἰδίου.
Ω. ἐγώ.
Ω. ὑπάρχω. εἰμί.
Ω. ᾧτινι. ἀντωνυμία πτώσεως δοτικῆς.
Ωετο. ὑπελάμβανεν. ἐνόμιζε.
Ωετο, δεῖν. ἐνόμιζε χρῆναι.
Ω εὐρυσθενές. ὦ μεγαλοδύναμε.
Ωήθην. ὑπέλαβον.
Ωή. καὶ ὀτοτοί. ἐστιν ἔπος θρηνητικόν.
Ωκουν. κατέλυσες.
Ωκοδόμουν. οἰκοδόμουν.
Ωνοχόουν. οἰνοχόουν.
Ωϊξεν. ἀνέῳξεν.
Ωισα. ὑπέλαβον.
Ωιζυν. μοχθηρίαν.
Ωκα. εὐθέως. ταχέως.
Ωκεανός. ὁ τὴν οἰκουμένην κύκλῳ περιερχόμενος ποταμός.
Ωκέως. ταχέως.

Ὠκέας. ταχεῖς.
Ὤκιλε. προσεπέλασεν. ἤγγιζε.
Ὠκίλαντες. ὁρμήσαντες.
Ὠκίλας. ταχύνας.
Ὤκιςα. τάχιςα.
Ὤκλασαν. τὰ γόνατα ἔκαμψαν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἀπειρηκότων ἐν παντὶ πράγματι. καὶ μηκέτι ἀντεχόντων.
Ὤκτειρεν. ἠλέησε.
Ὠκύτητος. ταχύτητος.
Ὠκὺς. ταχὺς. ὀξὺς.
Ὠκύαλος. ταχὺς διὰ θάλασσαν.
Ὠκύπορος. ταχέως πορευόμενος.
Ὠκύμορος. ταχυθάνατος
Ὠκύπτερον. ταχυπέτην.
Ὠκύροοι. ταχέως ῥέοντι
Ὠλένιον. ἔργον.
Ὦλκα. αὔλακα. αὖλαξ δέ ἐςιν ἡ τομὴ τοῦ ἀρότρου.
Ὠλένας. ἀγκάλας. χεῖρας.
Ὠλέκρανον. ὁ ἀγκών.
Ὠλόθρευον. ἐφόνευον.
Ὤλετο. ἀπώλετο.
Ὠλοφύρεται. θρηνεῖ. ςενάζει.
Ὤμμαι. ὤφθην.
Ὤμοι. ἔςιν ἀναφώνημα λύπης καὶ οἴκτου δηλωτικόν.

Ὡμίλουν. διὰ τοῦ ω μεγάλου γράφεται ὁμιλοῦν δὲ διὰ μικροῦ.

Ὤμοισιν. ἀμφοτέροις τοῖς ὤμοις.

Ὠμηστής. ὠμὰ κρέα ἐσθίων.

Ὡμάρτησαν. ἠκολούθησαν.

Ὤμην δεῖν. ἐνόμιζον πρέπειν. ἢ ἐνόμιζον ἀναγκαῖον.

Ὠμοβόρον. ὠμοφάγον.

Ὡμίλει. ἐπήρχετο.

Ὁμιλῆσαι. συγγενέσθαι.

Ὡμίλησαν. συνανεστράφησαν.

Ὤμοι. ἀντὶ τοῦ οὐαί μοι.

Ὦμος. προπερισπωμένως τὸ μετάφερον. ὀξυτόνως δὲ ὁ σκληρὸς καὶ ἀπηνής. οἷον ὠμός.

Ὠμογέρων. ὁ παρ᾽ ἡλικίαν γεγηρακώς. διὰ λύπην ἢ συμφοράν. καὶ πρεσβύτης. οὗ ἡ κεφαλὴ ἐπολιώθη.

Ὠμοτόκησεν. ἐδυστόκησεν. ἢ ἐξέτρωσεν ἢ παρὰ καιρὸν ἄωρον τὸ βρέφος προήγαγε.

Ὦ ἄναξ παιάν. ὦ βασιλεῦ ἄπολλον ὁ κακὰ παύων.

Ὠνὴ καὶ ὦνος. ἡ τιμή.

Ὠνήσω. ὠφελήσω.

Ὤνησας. ὠφέλησας.

Ὠνητιῶν. ἀγοραστικῶς ἔχων.

Ὠνίους. ἀγοραστούς.

Ὤνια. πράσιμα.

Ὠνήσεται. ἀγοράσει.

Ωνησις. πρᾶσις. ἢ ἀγορασία.
Ὢν. ὑπάρχων.
Ὠνούμενοι. ἀγοράζοντες.
Ὠνοχόει. ἐκίρνα.
Ὤοντο. ἐνόμιζον. ὑπελάμβανον.
Ὦ οὗτος. ὦ αὐτός.
Ὦπες. οἱ ὀφθαλμοί.
Ὤπαζεν. ἐχαρίσατο. ἐδεδώκεν.
Ὤπαζεν. κατόπιν ἐδίωκε.
Ὡπλίσατο. παρεσκευάσθη.
Ὡπλή. ἡ ἐκ χειρὸς πληγή.
Ὤφθαι. ἐθεάθη. ἑωράθη.
Ὢπόποι. ἐπίρρημα σχετλιαστικόν. φεῦ. παπαί.
Ὡραϊσμένη. κεκαλλωπισμένη.
Ὡραίοις. εὐειδέσιν.
Ὧρος. ὁ χρόνος. καὶ ὧρος ὄνομα.
Ὧραι. ἀστραπαί.
Ὡραΐζεται. ἐπὶ τοῦ εὐφραίνεται.
Ὠρίων. ὄνομα κύριον. καὶ ἄστρον ἐπίσημον οὕτω καλού-
μενον ἡ λεγομένη σκεπαρνέα. καὶ κλίνεται
ὠρίωνος.
Ὠρείθυια. ὄνομα θεᾶς. καὶ ὄνομα ἑορτῆς παρὰ τὸ
ἐν ὄρει θύειν.
Ὡραιότης. διὰ τὸ ἐμπόνως ἐνορᾶσθαι τὸ καλόν.
Ὠρακιᾶν. ἀπόψυχον ἀπὸ φόβου.

Ὠρακιάσας. ὠχριάσας.

Ὠρα. τροπή.

Ὠραισμός. ὧραι καλλωπισμός.

Ὠρα ἔτους. τὸ ἔαρ καὶ τὸ θέρος καιρὸς ἔτους.

Ὠρης. ἀκμῆς.

Ὠραν. τὸν ἐνιαυτὸν καὶ τὸν χρόνον.

Ὠρα. καιρός. ἢ κάλλος. εὐμορφία. τροπή. φροντίς. ὅθεν καὶ ὀλίγωρον λέγομεν τὸν ὀλίγην ἔχοντα φροντίδα.

Ὠραιαν. εὔμορφον. καὶ ἐνειδῆ τῇ ἡλικίᾳ.

Ὠρμηκε. διενοεῖτο.

Ὠρμῶντο. ἐξίεσαν.

Ὠρα, γάμων. ἀκμὴ γάμων καιρός.

Ὠρινε. διήγειρεν. ἐτάραξε.

Ὠρίνθη. διηγέρθη. ἐταράχθη.

Ὠρνυτο. ὥρμα. διηγείρετο.

Ὠρες. γυναῖκες.

Ὠροσκόπος. ἀστρίτης. σκοπεύων τὴν ὥραν.

Ὠρσεν. ἤγειραν.

Ὠρσαν. διήγειραν.

Ὠρπηξ. κλάδος.

Ὠρσαι. παρορμῆσαι.

Ὠρτο καὶ ὄρτε. ἀνέστη. ὥρμησεν. ἤρχετο.

Ὠρυγή. ἡ βοή.

Ὠρύω. σημαίνει τὸ κλαίω.

Ὠρύσσονται. φυλάσσονται.
Ὠρυόμην. καὶ ὠρυόμενος. καὶ ὠρύω. τὸ βοῶ.
Ὠρυομένων. κλαιόντων. κυρίως δὲ λέγεται ἐπὶ λύκων
καὶ λεόντων.
Ὠσήμεραι. διηνεκῶς.
Ὡσαύτως. ὁμοίως.
Ὠσάμενοι. ὠθήσαντες.
Ὡς ἂν οἷός τι ὦ. ὡς ἂν δυνηθῶ. ὅσον ἂν δύναμαι.
ὡς ἔχω. ἢ δυνατός εἰμι.
Ὡς ἄν. ὥς τε.
Ὥσατε δή. ὡς ἐκ τούτου.
Ὡς αὖ πάλιν. ἐκ δευτέρου πάλιν.
Ὡς δή σφιν. ὡς δὴ αὐτούς.
Ὡς ἐν πίνακι. ὡς ἐν εἰκόνι.
Ὡς ἐμέ. πρὸς ἐμέ.
Ὡς ἔνι. ὡς ἐγχωρεῖ.
Ὡς ἔπος. ὡς λόγος. ὡς συντόμως.
Ὡς ἔστιν. ὡς ὑπάρχει.
Ὡσπερεὶ. καθάπερ.
Ὡς ἔφυ. ὡς ἐγεννήθη. ὡς ἐβλάστησεν. ὡς ἐγένετο.
Ὡς ἔοικεν. ὡς φαίνεται. ὡς εἰκάζω.
Ὠσμένῳ. ὠθέντι. ὠθισμένῳ.
Ὡς ἐπὶ πᾶν. ὡς ἐπὶ τὸ πλεῖστον.

Ὦσεις. ἀνατρέψεις.
Ὠθεὶς. ἀνατροπεὶς.
Ὦσιν. ὑπάρχουσιν. εἰσὶν.
Ὠσμὸς. ὠθισμός. βίαιος.
Ὡς οἷόν τι. ὡς δύναται.
Ὡς οἶμαι. ὡς νομίζω. ὡς ὑπολαμβάνω.
Ὡσεις. καθάπερ.
Ὡς τὰ πολλὰ. ὡς ἐπὶ τὸ πλεῖστον.
Ὡς ἄημα. ὡς πνεῦμα. ὡς ἄνεμον. ἄημα γὰρ τὸ πνέον παρὰ διογενιανῷ.
Ὠθίζοντο. ὤθουν. συνέθλιβον.
Ὠχοφορία. ἑορτὴ διονύσου. ὦχον δὲ αἰγύπτιοι καλοῦσι τὴν ἄμπελον.
Ὡς. ἐπίρρημα. ἀλλ᾽ οὖν ἐν τάχει. ἀναγνωστέον. ἀντὶ γὰρ τοῦ ἵνα. ἡνίκα. ὅπως. ἢ οὕτως. καὶ ὁμοίως. καὶ ἀληθῶς ἐστι. ἔστι καὶ συγκριτικόν.
Ὧτι. ᾧτινι. δύο γὰρ μέρη λόγου εἰσὶν.
Ὦτ᾽ ἂν. δύο μέρη λόγου εἰσίν. ὦ σὺ ἑταῖρε. ὦ μακάριε. ὦ προφιλέστατε. λέγεται δὲ καὶ ἐπὶ εἰρωνείας πολλάκις.
Ὠτακουστεῖ. περιέργως ἀκούει.
Ὠτειλὰς. τὰ σημεῖα τῶν πληγῶν.
Ὠτειλή. πρόσφατον τραῦμα οὐλή. τρῶσις.
Ὤτρυνεν. παρώξυνεν. διήγειρεν. παρώρμησε.

Ὤτων. ὠτίων

Ὤφελον. εἴθε.

Ὠφθαλμίασεν. ἐπεμάνει τοῖς ὀφθαλμοῖς ἐρωτικῶς ἐπέβλεψεν. ἢ τοὺς ὀφθαλμοὺς ἤλγησε.

Ὤφθη. ὡράθη. ἐφάνη.

Ὦ φιλότης. ὦ ἑταῖρε. ὦ φίλε. ὦ προσφιλέστατε.

Ὠφρυόμενος. ἐπηρμένος.

Ὤχοντο. ἐπορεύοντο.

Ὤχετο. ἀπῆλθεν. ἀπώλετο. ἐπορεύετο.

Ὦχρος. χροῦς. χροός. ἄχροος. ἔστι δὲ ὁ κακόχρους ὑπερθέσει δὲ τοῦ ο. ἄωχρος.

Ὦχρος. ἡ ὠχρίασις. ὠχρὸς δὲ ὀξυτόνως. ὁ χλωρὸς καὶ ἁπαλός.

Ὠχασμένον. δεδεμένον.

Ὠχόμην. ἐπορευόμην.

Ὠχρός. χλωρός. βάψας.

Ὠχυρωμένη. ἠσφαλισμένη. κεκραταιωμένη.

Ὤψ. σημαίνει γ. τὸν ὀφθαλμὸν καὶ ὄνομα κύριον. καὶ τὴν φωνήν.

Ὦψαι. ὤφθης.

Ὦ. ὦπινι.

Ὠψισμένον. ὀψὲ τῆς ὥρας. βραδέως ἐρχόμενος.

Ωψίαθην. ὤψισα. ἐχρόνησα.
Ὡς. ἀντὶ τοῦ ὅπως. καὶ ὅτι.

# ΤΕΛΟΣ.